Ὑάδες οἱ ἐπὶ τῶν κεράτων τοῦ Ταύρου ἀστέρες.

ὕαινα θηρίον.

Ὑακινθίδες θυγατέρες Ὑακίνθου τοῦ Λακεδαιμονίου. cf. v. παρθένοι.

ὑακίνθινον ὑπομελανίζον, πορφυρίζον.

Ὑάκινθος ὄνομα κύριον.

ὑάλη ὕαλος. ὕαλος ἐστὶν ἀφ' ἧς πῦρ ἅπτουσι. καί φησιν Ἀριστοφάνης (Nub. 768) "ὁπόταν γράφοιτο ἡ δίκη, ἀπωτέρω στὰς ὧδε πρὸς τὸν ἥλιον τὰ γράμματ' ἐκτήξαιμι τῆς ἐμῆς δίκης." ἔστι δὲ κατασκεύασμα ὑάλου τροχοειδὲς ἢ ἠλέκτρου, εἰς τοῦτο τεχνασθέν· ὅπερ ἐλαίῳ χρίσαντες καὶ ἡλίῳ θερμήναντες προσάγουσι θρυαλλίδα καὶ ἅπτουσι πῦρ. τοῦτο οὖν ὁ γέρων πρὸς Σωκράτην διαλεγόμενός φησιν· εἰ ὑφάψαιμι διὰ τῆς ἠλέκτρου καὶ προσαγάγοιμι τῇ δέλτῳ τὸ πῦρ τῇ τοῦ γράμματος, ἀφανίσαιμι τὰ γράμματα τῆς δίκης.

ὑάλιος πολέμιος. καὶ ἐνυάλιος.

Ὑάμπολις πόλις.

Ὑβάδαι δῆμός ἐστι τῆς Λεοντίδος. Harp.

ὑβός ὁ κυρτός, καὶ ὕβωσις ἡ κύρτωσις, καὶ ὑβάζειν τὸ ἐμεῖν· οἱ γὰρ ἐμοῦντες ἀπὸ τῆς βίας κυρταίνειν ἐοίκασιν.

ὑβρίζειν ἐπὶ τοῦ αἰσχρῶς διαιτᾶσθαι· "ὑπέλαβε πονηρὸς ὄντας ὑβρίζειν καὶ ῥᾳστωνεύεσθαι." "ὃ δὲ οὐ μάτην ἔζη, ὥς γε ἐμὲ κρίνειν, οὐδὲ μὴν ὡς οἱ πολλοὶ ἐπὶ τραπέζας κεκυφέναι καὶ ἐμπίπλασθαι καὶ ὑβρίζειν σπεύδων, ἀλλὰ πλέον τι εἰδέναι μαστεύων ὑφ' ἡγεμόνι θεῷ."

ὑβρίζοντες σκιρτῶντες. Ἡρόδοτος (4 129).

a ὕβρις ὑπόβαρός τις οὖσα, ἢ παρὰ τὸ ὕειν βάρος. (S OR 873) "ὕβρις φυτεύει τύραννον, ὕβρις, εἰ πολλῶν ὑπερπλησθῇ μάταν, ἃ μὴ 'πίκαιρα μηδὲ συμφέροντα." διὰ τῆς ὕβρεως, φησίν, ἀνανεοῦται ὁ τύραννος. καὶ ὅταν, φησί, πολλὰ διαπράξηται, τότε εἰς μεγάλην ἀνάγκην ἐμπίπτει, διὰ τῆς ὕβρεως ἐπαρθείς. τοῦτο γὰρ σημαίνει τὸ "ἀκροτάταν εἰσαναβᾶσ' ἀπότομον ὤρουσεν εἰς ἀνάγκαν." "παίδων μὲν - - - ἁμαρτάνειν" Εὐνάπιός φησι περὶ Καρίνου βασιλέως (cf. v. Καρῖνος).

b ὕβρις ἡ μετὰ προπηλακισμοῦ καὶ ἐπηρείας, αἰκία δὲ πληγαὶ μόνον. Λυσίας ἐν τῷ περὶ αἰκίας πρὸς Ἰσοκράτην "καίτοι τίς οὐκ οἶδεν ὑμῶν ὅτι τὴν μὲν αἰκίαν χρημάτων ἔστι μόνον τιμῆσαι, τοὺς δὲ ὑβρίζειν δόξαντας ἔξεστιν ὑμῖν θανάτῳ ζημιοῦν;" καὶ σύνταξις "ὑπὸ ἀγανακτήσεως καὶ πρὸς ὕβρεως τιθέμενος, ὅτι μὴ τὰ πρῶτα ἐπεπίστευτο τὴν στρατείαν." Ἀριστοφάνης (Ran. 21) "εἶτ' οὐχ ὕβρις ταῦτ' ἐστὶ καὶ πολλὴ τρυφή," ἀντὶ τοῦ ἀλαζονεία, "ὅτ' ἐγὼ μὲν ὢν Διόνυσος, υἱὸς Σταμνίου, αὐτὸς βαδίζω καὶ πονῶ, τοῦτον δ' ὀχῶ ἵνα μὴ ταλαιπωροῖτο.

ὑβρίσασιν ἐξαμαρτήσασιν αἰσχρῶς· "ἔνθα καὶ στρατιώταις ἔξω τοῦ προσήκοντος ὑβρίσασιν ἐπέθηκε δίκην· ἐλάττων δὲ ἦν ἡ δίκη τοῦ προσήκοντος."

ὕβρισεν οὐχ ὁ πατάξας ἀλλ' ὁ ἐπιπλήξας καὶ ὀνειδίσας.

ὑβριστάς τους θρασεῖς καὶ λοιδόρους.

ὕβριστις ἡ ὕβρις καὶ ἡ ἀτιμία.

ὑβριστότερος· Ξενοφῶν (Cyr. 5 5 41) "οἱ ἀμελεῖσθαι δοκοῦντες στρατιῶται οἱ μὲν ἀγαθοὶ πολὺ ἀθυμότεροι γίνονται, οἱ δὲ πονηροὶ πολὺ ὑβριστότεροι." καὶ αὖθις "οὐδὲν ὑβριστικώτερον ὄχλου πρὸς ὀργὴν καὶ παρανομίαν ὁρμήσαντος."

ὑγεία. οἰωνιζόμενοι εἰώθασι λέγειν πρὸς a
τὸ "τίς ὁ ζητῶν" ὄνομα ἢ ὑγείαν ἤ τι τοιοῦτον. καὶ ὁ ἔποψ ἔφη "τίνες οἱ ζητοῦντες;" οἱ δὲ ἔφασαν "οἱ δώδεκα θεοὶ εἴξασιν ἐπιτρῖψαί σε." sch. A Av. 95.

ὑγεία διττή ἐστιν, ἡ μὲν ἐν τῷ ἰατρῷ, b
ἡ δὲ ἐν τῷ ὑγιαζομένῳ σώματι. καὶ ἡ ἐν τῷ ἰατρῷ ποιητική ἐστι τῆς ἐν τῷ σώματι· οὕτω καὶ ἡ ἐν τῷ κόσμῳ τάξις ἐκ τῆς ἐν τῷ δημιουργῷ τάξεως γέγονε. τὸ δὲ ὑγιεινὸν πολλαχῶς λεγόμενόν ἐστιν· ὑγιεινὸν γὰρ τὸ μὲν ποιητικὸν ὑγείας, ὡς τὸ φάρμακον, τὸ δὲ φυλακτικόν, ὡς ἡ δίαιτα, τὸ δὲ σημαντικόν, ὡς χρῶμα σφυγμὸς εὔπνοια οὖρα.

ὑγεία Ἀθηνᾶ. ἐπώνυμόν ἐστιν Ἀθηνᾶς· c
καὶ γὰρ ὑγεία καλεῖται καὶ νίκη καὶ ἱππία καὶ ἐργάνη. Harp.

ὑγιαίνω.

ὑγιασθείς· "ὁ δὲ ὑγιασθεὶς τοῦ τραύματος."

ὑγίεια τῶν ἀνθρωπίνων ἀγαθῶν τὸ a
κάλλιστον.

ὑγίεια ἐστὶ συμμετρία τῶν πρώτων σω- b
ματικῶν δυνάμεων, ἅ ἐστι θερμότης ψυχρότης ὑγρότης ξηρότης. καὶ ὑγιεινός ὁ

ὑγιής. καὶ ἐπίρρημα ὑγιεινῶς.

ὑγιές λυσιτελές, ὠφέλιμον· "τῆς πόλεως ἐπ' οὐδὲν ὑγιές." Φιλοκτήτης ⟨1006⟩ "ὦ μηδὲν ὑγιὲς μηδ' ἐλεύθερον φρονῶν, οἷά μ' ὑπῆλθες, ὥς μ' ἐθηράσω, λαβὼν πρόβλημα σαυτοῦ παῖδα τόνδ' ἀγνῶτ' ἐμοί, ἀνάξιον μὲν σοῦ, κατάξιον δ' ἐμοῦ."

ὑγιέστερος κρότωνος. ἐπὶ τῶν πάνυ ὑγιαινόντων ἡ παροιμία, ἀπὸ τοῦ ζῴου τοῦ κρότωνος· λεῖον γάρ ἐστιν ὅλον καὶ χωρὶς ἀμυχῆς καὶ μηδὲν ἔχον σίνος. cf. v. κρότωνος ὑγιέστερος.

ὑγιέϛερος ὄμφακος παροιμία, ὥσπερ καὶ "ὑγιέστερος Κρότωνος·" πολλοὶ γὰρ Κροτωνιᾶται ἀσκηταί. καὶ ὑγιέστερος κολοκύντης.

ὑγιής, ὑγριής τις ὤν, ὁ δίυγρος καὶ ζῶν. ἀλίβαντες δὲ οἱ νεκροί, παρὰ τὸ μὴ ἔχειν λιβάδα ἤγουν ὑγρασίαν.

ὑγρὰ κέλευθα ⟨Hom. *Α* 312⟩ τὴν διὰ θαλάσσης ὁδόν.

ὑγραίνω.

ὑγρός ὁ εὐκατάφορος εἰς τὰς ἡδονάς, καὶ ὁ ῥευματιζόμενος.

ὑγρότης ἀραιότης καὶ ἀφέλεια.

ὑγρῶς· "ὑγρῶς γὰρ κραδαινομένη καὶ τοῖς ποσὶ χαμαιπετής, εὔστολος γινομένη, ἐνίκα πάντας τοὺς τῶν θαυματοποιῶν ἐξηγουμένους· φωνήν τε ἔχουσα ἡδεῖαν καὶ ταύτην μετὰ τέχνης ἀφιεῖσα οὐδενὸς τῶν --- ἄνδρα ⟨cf. v. ἀκκιζόμενος⟩, ἑαυτῇ μὲν πλοῦτον οὐκ εὐκαταφρόνητον οἴσειν, ἐκεῖνον δὲ κατὰ βαιὸν τηκόμενον τῷ ἔρωτι ἀπήλλαξε τῶν τῇδε." καὶ αὖθις "πρὸς γὰρ τὰς δωρεὰς ἦν ὑγρὸς καὶ καταφερής, πρὸς δὲ τὰς εἰσπράξεις βαρύς τε καὶ συντεταμένος" ⟨cf. v. αὐτοαπλότης⟩.

Ὑδάσπης ποταμός.

ὑδατηγὸς ἀνήρ ὁ ἀντλῶν.

ὑδατίδες σταγόνες.

ὑδάτιον νᾶμα.

ὑδέουσιν ᾄδουσι, λέγουσιν.

ὕδερος.

ὑδερῶν ὑδρωπιῶν.

Ὕδη ⟨Hom. Υ 385⟩ πόλις.

ὕδος τὸ ὕδωρ. ἡ δοτικὴ ὕδει.

ὕδρα ἐννεακέφαλος ὄφις.

ὕδραν τέμνειν, ἐπὶ τῶν ἀμηχάνων λέγεται· ἱστορεῖται γὰρ ὕδρᾳ τῇ ἐν Λέρνῃ ἑκατοντακεφάλῳ τυγχανούσῃ μαχόμενον Ἡρακλέα, ὡς τῶν τεμνομένων αὐτῆς κεφαλῶν ἀνεφύοντο πλείους, κελεῦσαι Ἰολάῳ ἐπικαίειν τὰς τεμνομένας.

ὕδραν τέμνεις, ἐπὶ τῶν ἀμηχάνων εἴρηται, παρ' ὅσον Ἡρακλῆς ὕδραν τέμνων οὐδὲν μᾶλλον ἐκράτει, ἀναδιδομένων αὖθις πλειόνων κεφαλῶν.

ὑδρεία τὸ ὑδρεύεσθαι, ὑδρία δὲ τὸ ἀγγεῖον.

ὑδρεύειν ποτίζειν.

ὑδρηλόν.

ὑδροπικός, καὶ ὑδροπότης, καὶ ὑδροποτεῖν.

ὑδρορρόα τὸ μέρος τῆς στεφανίδος, δι' οὗ τὸ ἀπὸ τοῦ ὄμβρου ὕδωρ συναγόμενον κατέρχεται· ἢ ὁ στενὸς τόπος. ὑδρορρόα καὶ ἡ ὕφαλος πέτρα· "οἳ δὲ εἰς τὰς ὑδρορρόας συνωθοῦντες αὐτοὺς διὰ τούτων ἐσῴζοντο πρὸς τὰς ναῦς." λέγεται δὲ καὶ ὑδρόρροια.

ὑδροστάσιον λίμνη μικρά· ⟨Menand. p. 301 Nieb.⟩ "παραμειψάμενοι τὸ μέγα τοῦτο ὑδροστάσιον ἀφίκοντο ἐς τὰς λίμνας, ἐν αἷς ἐπιμιγνύμενος ἀπόλλυται ὁ Κωφὴν ποταμός."

ὕδρου ὄφεως.

ὑδροφόρια ἑορτὴ πένθιμος Ἀθήνησιν ἐπὶ τοῖς ἐν τῷ κατακλυσμῷ ἀπολομένοις, ὡς Ἀπολλώνιος.

ὑδροχοεῖα δεξαμεναί· ⟨Menand. p. 374 Nieb.⟩ "ὁλκὸν τοῦ ὕδατος ἐπεσκεύασε καὶ ὑδροχοεῖα ἐπενόησεν."

ὑδρωπιῶντες νοσοῦντες. ὑδροποτοῦντες δέ.

ὕδρωψ ἡ νόσος.

ὕδω τὸ ᾄδω· "ὕδειν ἔοικεν," ὑμνεῖν. καὶ ὑδέοιμι ἀντὶ τοῦ ὑμνοῖμι· ⟨Callimach. Hec.⟩ "αἴθρην τὴν εὔτεκνον ἐπαγρομένης ὑδέοιμι."

ὕδωρ. ὅτι τὸ ὕδωρ ἢ παντελῶς ἄχυμον, ὡς τοῖς ἰατροῖς δοκεῖ, ἢ ἐγγὺς ἄχυμον. ἔχει μέντοι δύναμιν πάντων τῶν χυμῶν δεκτικήν· διὸ καὶ ἀπολαύει παντὸς χυμοῦ, οὗ ἂν πλησιάσῃ αὐτῷ.

ὕδωρ ἀντιλογίας. ἀπὸ τοῦ πράγματος ὁ τόπος τὴν προσηγορίαν ἐδέξατο· εἰς Μερρὰν γὰρ ἐλθόντες καὶ πικρὸν εὑρόντες τὸ ὕδωρ κατὰ Μωσέως ἐβόησαν καὶ τοῦ θεοῦ κατελάλησαν. λέγει δὲ ὅτι διήλεγξά σου παρ' ἐκεῖνο τὸ ὕδωρ τὴν ἀχάριστον γνώμην ⟨Theodoret. in Ps. 80 8⟩.

ὕδωρ αὐτοπαγές τὸ συνεστηκὸς ἐν

τοῖς ἱεροῖς, ἢ τὸ αὐτομάτας πηγὰς ἔχον.

ὕδωρ βορόν, καὶ ἀγρυπνίη βορόν. λέγει ἂν ὅτι τὸ ὕδωρ ὀκ ἐν τοῖς πυρέττουσι μόνον ἐστὶ τρόφιμον, ἀλλὰ κἂν τοῖς ἀγρυπνȣ̃σιν.

ὕδωρ δὲ πίνων χρηστὸν ȣ̓δὲν ἂν τέκοις." τȣ̃το ἔξ ἐπιγράμματος εἶναι μέρος οἵ μὲν Ἀσκληπιάδȣ οἵ δὲ Θεαιτήτȣ φασίν.

ὕδωρ διαπορευόμενον (Ps. 57 8) ἀντὶ τȣ̃ ἐσκεδασμένον καὶ παντελῶς ἄχρηςον.

ὕδωρ παραρρέει, ἐπὶ τῶν ἐπαγγελλομένων παντὶ σθένει σπȣδάσειν, ὡς κἂν εἰς ῥέοντα πλοῖα ἐμβῆναι οὐκ ὀκνησάντων.

ὑέ ἀπειλὴ βραδυνόντων καὶ ἀνοιγνύναι κελευόντων. καὶ γὰρ ὗεν ἀντὶ τȣ̃ ἔβρεχεν.

ὑεικόν ὑὸς ἴδιον, χοίρȣ ἔργον. "λέγεται τὸν Σωκράτην ἄλλων τε πολλῶν παρόντων καὶ τοῦ Εὐθυδήμȣ εἰπεῖν ὅτι ὑεικὸν αὐτῷ δοκοίη πάσχειν ὁ Κριτίας, ἐπιθυμῶν Εὐθυδήμῳ προσκνήσασθαι ὥσπερ τὰ ὑίδια τοῖς λίθοις." Ξενοφῶν φησίν (Mem. 1 2 30).

ὕειον χοίρειον, καὶ ὑείων χοιρείων κρεῶν· "ἐχορτάσθησαν ὑείων."

ὑέλιον καὶ ὕελος καὶ ὑέλινον.

ὑετός. τὸ υ μακρόν· "ἄγων μέγαν ὑετὸν ἔστη" (cf. v. μῶσσον). Αἰλιανός "ἐμπιπτόντων ὑετῶν καὶ χάλαζα ἰσχυρὰ ἔρρευσε." καὶ (Diog. L. 7 153) "ὑετὸς ἐκ νέφȣς μεταβολὴ εἰς ὕδωρ, ἐπειδὰν ἢ ἐκ γῆς ἢ ἐκ θαλάττης ἀνενεχθεῖσα ὑγρασία κατενεχθῇ."

a ὑηνεία· "ἐν πάσῃ ὑηνείᾳ καλινδούμενος" (Damasc. Phot. p. 350 a 17).

b ὑηνεία μωρία· Ἀριστοφάνης (Pac. 927). "ἵνα μὴ γένηται Θεαγένȣς ὑηνία." διεβέβλητο γὰρ οὗτος ὡς μωρὸς καὶ συώδης. ἦν δὲ ἐκ Πειραιῶς, ἐδόκει δὲ καὶ πένης εἶναι καὶ θρύπτεσθαι ἐπὶ πλούτῳ· ἦν δὲ καὶ τὸ σῶμα παχὺς καὶ χοιρώδης. τινὲς δὲ ὑηνείαν τὴν δυσωδίαν τὴν ἐκ τῶν χοίρων φασίν, οἵπερ διαφόροις ἐδέσμασι χρώμενοι δυσώδη ἀποπατοῦσι καὶ εἰς βόρβορον διαλύονται. ἦν δὲ καὶ ἄλλος ὁ εἰς Ὅμηρον γράψας, ὃς ἐπὶ μαλακίᾳ διεβάλλετο (sch. cf. vv. Ἑκάτειον et Θεαγένȣς χρ.). "ἡ νῦν γενεὰ ὑπὸ τρυφῆς ἀκολάστȣ διεφθαρμένη, ταπεινὰ ··· ἔτι δυνάμενον. τοιάνδε εἶναι καὶ πολλῷ χαμαιπετεστέραν ἐπεδείκνυε τὴν ζωὴν τῶν νῦν ἐν τῇ γενέσει πολιτευομένων" (cf. v. ψυχή).

ὑηνεῖς, ῥῆμα, ὑεικόν τι καὶ ζῳῶδες ποιεῖς. "ὑς δὲ δὴ καὶ κυνοκεφάλȣς λέγων οὐ μόνον αὐτὸς ὑηνεῖς, ἀλλὰ καὶ τοὺς ἀκούοντας τοῦτο δρᾶν πρὸς τὰ συγγράμματά μȣ ἀναπείθεις, οὐ καλῶς ποιῶν" Πλάτων Θεαιτήτῳ (p. 166 C).

ὑηνεύς ὁ σκαιός.

ὑηνία δὲ ἡ συγγένεια (an συηνία).

ὑηνῶν σκαιῶν καὶ ἀμαθῶν.

ὑηνῶν θρεμμάτων· "καὶ ἔδοξέ μοι τοῦτο οὐκ ἀνθρώπινον, ἀλλ' ὑηνῶν τινῶν μᾶλλον εἶναι θρεμμάτων" Πλάτων Νόμων ζ' (p. 819 D).

Ὕης Ὕȣ, ἐπίθετον Διονύσȣ, ὡς Κλείδημος, ἐπειδή, φησίν, ἐπιτελοῦμεν τὰς θυσίας αὐτῷ καθ' ὃν ὁ θεὸς ὕει χρόνον. ὁ δὲ Φερεκύδης τὴν Σεμέλην Ὕην λέγεσθαι καὶ τὰς τοῦ Διονύσȣ τροφοὺς Ὑάδας. Ἀριστοφάνης δὲ συγκαταλέγει ξενικοῖς θεοῖς τὸν Ὕην.

ὑθλεῖς φλυαρεῖς· ὕθλος γὰρ ἡ φλυαρία. sch. Nub. 781.

υἱδοῦς ὁ υἱοῦ υἱός, ὁ ἔγγονος. καὶ υἵδιον.

ὑίειον. οἴειον δὲ κρέας προβάτειον.

υἱοὶ θεοῦ οἱ ἀπόστολοι ὡς ἀδελφοὶ τοῦ Χριστοῦ χρηματίσαντες· "εἴπατε γάρ" φησι (Matth. 26 32) "τοῖς ἀδελφοῖς μȣ, προάγω ὑμᾶς εἰς τὴν Γαλιλαίαν." υἱοὺς δὲ κριῶν τοὺς ἐξ ἐθνῶν πεπιστευκότας, ἅτε δὴ φύντας ἐξ ἀλόγων πατέρων· Δαβὶδ "ἐνέγκατε τῷ κυρίῳ υἱοὺς κριῶν." υἱοὶ δὲ τῶν ἐκτετιναγμένων οἱ σφόδρα ταλαιπωρούμενοι· Δαβὶδ φησιν (126 4) "ὡσεὶ βέλη ἐν χειρὶ δυνατȣ̃, ὅτως υἱοὶ τῶν ἐκτετιναγμένων." Theodoret. in Ps. 28.

υἱωνός ὁ τοῦ υἱοῦ υἱός.

υἱῶσαι τὸν παῖδα υἱὸν ποιῆσαι αὐτὸν θετόν, καὶ υἱώσατο ἀντὶ τȣ̃ υἱὸν θετὸν ἐποιήσατο. καὶ υἱώσει τῇ υἱοθεσίᾳ, καὶ τὰς υἱώσεις τὰς υἱοθεσίας. ἡ χρῆσις παρὰ Αἰλιανῷ πολλή.

ὑλαῖα ἐκ τȣ̃ ὕλης. καὶ ὑλαῖος.

ὑλακόμωροι (Hom. Ξ 29) ὑλακτικοί, οἱ περὶ τὸ ὑλακτεῖν πονούμενοι.

ὑλακτεῖ ἐμμανῶς καὶ ἀναιδῶς βοᾷ ὡς κύων. (S El. 299) "τοιαῦθ' ὑλακτεῖ· σὺν δ' ἐποτρύνει πέλας ὁ πάντα κλεινὸς οὗτος, ἡ πᾶσα βλάβη."

ὑλακτάσης μαργώσης· ἐν ἐπιγράμματι (AP 6 84) "τῷ σὺ δίδȣ μὴ πολλά, δι' εὐάγρȣ δὲ λίνοιο, δαῖμον, ὑλακτάσης νηδύος

ἡσυχίην."

Ὕλαν κραυγάζειν. ἱστοροῦσιν Ὕλαν τὸν Θειοδάμαντος, καλὸν τὴν ὥραν, ἐρώμενον Ἡρακλέως, ὅτε συνέπλει τοῖς Ἀργοναύταις· γενομένων δὲ κατὰ Μυσίαν ἐξελθεῖν ὑδρευσόμενον, ὑπὸ νυμφῶν δὲ ἀφανισθῆναι. τότε δὲ ἐπὶ ζήτησιν Πολύφημον πεμφθέντα κεκραγέναι καὶ ὀνομαστὶ ἀνακαλεῖν τὸν Ὕλαν μηδὲν περαίνοντα· διὸ καὶ τὴν παροιμίαν ἐπὶ τῶν μηδὲν ἀνυόντων λέγεσθαι. καὶ νῦν δὲ Κιανοὺς ἔτι ἀπομίμημα τῆς ζητήσεως ποιουμένους ἑορτάζειν τῷ ἥρωι. cf. v. τὸν Ὕλαν κρ.

Ὕλας ὄνομα κύριον.

ὑλειώτης ὁ ἐν ὕλῃ διατρίβων· ἐν ἐπιγράμματι ⟨AP 6 106⟩ "τοῦτό σοι, ὑλειῶτα, κατ' ἀγριάδος πλατάνοιο δέρμα λυκορραίστης ἐκρέμασεν."

ὕλη ὁ σύνδενδρος τόπος. ὕλη καὶ ἡ σκῆψις, ἡ ὑπόθεσις· "ὕλας χορηγῶν καὶ τοσαύτας καὶ ξένας."

ὑλήεσσα σύνδενδρος.

ὑλῃκοίτης.

ὑληφόρον ⟨A Ach. 271⟩ ξυληφόρον.

ὑλωροί ⟨Apollon. Rhod. 1 1227⟩ οἷς τὰ διὰ τῆς ὕλης ἔργα ἐν φροντίδι ἐστί. λέγει δὲ τοὺς φύλακας τοῦ ὄρους.

Ὑλλίδης.

Ὕλλος ὄνομα κύριον.

ὑμά.

ὑμεδαπῶν τῶν ἐκ τοῦ αὐτοῦ ἐδάφους συγγενῶν ἢ τῆς αὐτῆς χώρας.

ὑμεῖς μὲν ἄρα. cf. v. νυμφίε βίον.

ὑμεῖς ὦ Μεγαρεῖς οὔτε τρίτοι οὔτε τέταρτοι." χρησμοῦ κομμάτιόν ἐστι παροιμιαζόμενον οὕτως· "ἵππον Θεσσαλικὴν Λακεδαιμονίαν τε γυναῖκα, ἄνδρας δ' οἳ πίνουσιν ὕδωρ καλῆς Ἀρεθούσης. ἀλλ' ἔτι καὶ τῶν εἰσὶν ἀμείνονες οἵτε μεσηγὺ Τίρυνθος ναίουσι καὶ Ἀρκαδίης πολυμήλου, Ἀργεῖοι λινοθώρηκες, κέντρα πτολέμοιο. ὑμεῖς δ' Αἰγιέες οὔτε τρίτοι οὔτε τέταρτοι οὔτε δυωδέκατοι οὔτ' ἐν λόγῳ οὔτ' ἐν ἀριθμῷ." ἱστορεῖ δὲ Μνασέας ὅτι Αἰγιεῖς οἱ ἐν Ἀχαΐᾳ, καταναυμαχήσαντες Αἰτωλοὺς καὶ λαβόντες πεντηκόντορον αὐτῶν, δεκάτην Πυθοῖ ἀνατιθέντες ἠρώτων τίνες εἶεν κρείττους τῶν Ἑλλήνων· ἡ δὲ Πυθία ἔχρησεν αὐτοῖς τὰ προκείμενα. καὶ Ἴων δὲ Αἰγιεῦσι δοθῆναι τὸν χρησμὸν ἱστορεῖ. τινὲς δὲ οἴονται Μεγαρεῦσιν εἰρῆσθαι αὐτόν, καὶ προφέρονται "ὑμεῖς δ' ὦ Μεγαρεῖς οὔτε τρίτοι οὔτε τέταρτοι," ὡς καὶ Καλλίμαχος ἐν τοῖς ἐπιγραμματίοις ⟨26⟩ "τῆς δὲ ταλαίνης νύμφης, ὡς Μεγαρέων, οὐ λόγος οὐδ' ἀριθμός."

ὑμέλην στεῖραν, ἄγονον.

ὑμεναίων γαμικῶν ὕμνων. "ὑμέναιος γὰρ ἐκείνων Λυδὸς ᾄδεται." ⟨AP 7 19⟩ "τὸν χαρίεντ' Ἀλκμᾶνα, τὸν ὑμνητῆρ' ὑμεναίων κύκνον, τὸν Μουσῶν ἄξια μελψάμενον."

ὑμενῶδες λεπτότατον καὶ οἷον εἰπεῖν ἀερῶδες.

ὑμήν ὑμένος.

Ὑμήττιον μέλι τὸ εὔχρηστον πρὸς ἰατρείαν. Ὑμηττὸς δέ ἐστι τόπος τῆς Ἀττικῆς περὶ τὰς Ἀθήνας.

ὑμνεῖν ὀδύρεσθαι, μέμφεσθαι, λοιδορεῖν, κατ' εὐφημισμόν, ὡς ἐν α' πολιτείας Πλάτων ⟨p. 329 B⟩.

ὑμνείτω δοξαζέτω.

ὑμνηπολείτω ὑμνείτω, καὶ ὑμνηπόλος.

ὑμνήσεις. ἡ τραγῳδία φησί ⟨S El. 382⟩ "χθονὸς τῆσδ' ἐκτὸς ὑμνήσεις κακά."

Ὑμνίδι, ἀπὸ ⟨τῆς⟩ Ὑμνίς εὐθείας.

ὑμνοπόλος ὁ περὶ τοὺς ὕμνους ἀναστρεφόμενος· ⟨AP 7 18⟩ "πολλαὶ μητέρες ὑμνοπόλων," περὶ Ἀλκμᾶνος τοῦ λυρικοῦ.

ὑμνῳδία καὶ ὑμνῳδός.

ὕνιν γεωργικὸν ἐργαλεῖον καὶ ῥόπαλον· ἐν ἐπιγράμματι ⟨AP 6 104⟩ "ἱστοβόην τε σὺν γυροῖς ἀρότροις, καὶ φιλόγαιον ὕνιν." τὸ δὲ υ μακρόν.

ὑόμενος ⟨Hom. ζ 131⟩ βρεχόμενος.

ὑομουσία ἀπαιδευσία, χοιρωδία· Ἀριστοφάνης ⟨Eq. 980⟩ "θαυμάζω τῆς ὑομουσίας."

ὑοσκυαμᾶν μεμηνέναι, παραπαίειν· Φερεκράτης Κοριαννοῖ "ὑοσκυαμᾷς ἀνὴρ γέρων."

ὑοσκύαμον εἶδος βοτάνης.

ὑπάγγελτος· "ὁ δὲ κατορρωδήσας μὴ γενόμενος ὑπάγγελτος τοῖς Ῥωμαίοις κινδυνεύσῃ," ἀντὶ τοῦ καταφανής.

ὑπάγει ἐξαπατᾷ, ἢ ὑποτάσσει· "ὑπάγει τὰ προβλήματα τοῖς γενικοῖς." "ὑπάγοντος δὲ αὐτὸν τοῦ κέρδους καὶ ἐπιμᾶλλον ὑποθήγοντος."

ὑπάγειν ἐς δίκην τὸ ἄγειν καὶ Θουκυδίδης ⟨3 70⟩ καὶ ἄλλοι.

ὑπαγκάλιος παῖς· ⟨cf. v. Μάρκιος⟩ "ὁ

67

νίς δέκα ἔτη γεγονώς, καὶ ὁ ἕτερος ὑπαγκάλιος."

a ὑπαγόμενος ἐξαπατῶν· "ὑπαγόμενος δὲ τοὺς παῖδας προσωτέρω τῆς πόλεως" (Dionys. Hal. fr. Ambr. 13 1).

b ὑπαγόμενος πειθόμενος, ἀπατώμενος· "γυναικὸς ἀκολάστου καὶ τυραννικοῦ διαβολαῖς ὑπαγόμενος."

ὑπάγουσιν ἀντὶ τοῦ προάγουσι Δημοσθένης (9 65) Φιλιππικοῖς.

ὑπαγωγαί ἀπάται (Demosth. 19 322?).

ὑπαγωγάς τὰς ἀναχωρήσεις. "διώξεις τε καὶ ὑπαγωγάς" φησὶ Θουκυδίδης (3 97). καὶ αὖθις (Agath. 2 21) "καὶ πέρα τοῦ μετρίου δειμαίνοντας ἐς ὑπαγωγὴν μετανίστασθαι" ἀντὶ τοῦ ὑπαναχώρησιν.

ὑπαγωγεύς ἐργαλεῖόν τι τεκτονικόν, ὥς τινες, σιδηροῦν, οἷον πτυΐδιον, ᾧ χρῶνται οἱ κονιαταί. οἱ δὲ ἐργαλεῖον οἰκοδομικόν, ᾧ ἀπευθύνουσι τὰς πλίνθους πρὸς ἀλλήλας· ὅ τινες παράξυστον καλοῦσιν. οἱ δὲ πηλόν τινα, καθὼς καὶ Ἕρμιππος "ξύνεξι γὰρ δὴ δεσμῷ μὲν οὐδενί, τοῖσι δ' ὑπαγωγεῦσι τοῖς ἑαυτοῦ τρόποις." καὶ Ἀριστοφάνης Ὄρνισι (1149) "καὶ νὴ Δί' αἱ νῆτταί γε περιεζωσμέναι ἐπλινθοφόρουν, ἄνω δὲ τὸν ὑπαγωγέα ἐπέτοντ' ἔχουσαι." ἐζωσμέναι δὲ αἱ νῆτται διὰ τὸ ἔχειν ζώνην λευκήν.

ὑπαγωγή ὑποχώρησις· "ὅπως μὴ ἐθελοκακοῦντες ἐς ὑπαγωγὴν ὀξύτεροι εἶεν, τῶν ἵππων ἀβεβίβασιν."

ὑπαὶ δείους (Hom. K 376) ὑπὸ τοῦ φόβου.

ὕπαιθα εἰς πλάγιον.

ὑπαίθριον ὑπὸ τὸν ἀέρα. καὶ ὕπαιθρον ὁμοίως. Εὐνάπιος (p. 100 Nieb.) "Μάξιμός τε καὶ Πρίσκος λόγου μὲν μετειχέτην, τῆς δὲ τῶν κοινῶν καὶ ὑπαίθρων πραγμάτων πείρας ἐλάχιστον." καὶ αὖθις (p. 115: cf. v. νεωτερίζειν) "ὡς ἂν ὕπαιθρόν τινα καὶ ἔννομον ἀγωνισάμενος μάχην," τουτέστι προφανῆ. καὶ ὕπαιθρος.

ὑπαικάλλων κολακεύων, σαίνων· "Ἄλβιος ··· φάτνην" (cf. v. Ἄλβιος).

ὑπαίμαξε διέφθειρεν· (AP 7 51) "οὔ σε κυνῶν γένος εἷλ', Εὐριπίδη, ἀλλ' Ἀίδης καὶ γῆρας ὑπαίμαξεν."

ὑπαινιττόμενοι παραδηλοῦντες· "ἔστι τεκμηριῶσαι ὡς ὑπαινιττόμενοι γῆν ἔχειν σιδηροφόρον τῷ τοιῷδε ἐχρήσαντο κόμματι."

Ὑπαλπία ὄνομα πόλεως.

ὑπαλύξας ἐκφυγών.

ὑπάλυξις ἔκκλισις.

ὑπανέντος ἐνδόντος.

ὑπανθῶ ἀεί.

ὑπανίσχει ὑπανατέλλει.

ὑπαντιάζων ὑπαντῶν.

ὑπάξεσθαι ὑπαγαγεῖν, ὑποτάξαι· "ὑπισχνεῖται δὲ πολλὰ μὲν ὑπάξεσθαι αὐτῷ τῶν ἐπὶ τῆς ὄχθης ἐρυμάτων."

ὑπαποτρέχειν ἔχουσι μηδὲ πάτταλον" (A Eccl. 284), ἀντὶ τοῦ ὀπίσω τρέχειν, μηδὲ τὸ τυχὸν ἔχουσιν· οἱ γὰρ ὕστερον ἐρχόμενοι εἰς τὴν Πύκνα οὐκ ἐλάμβανον τὸ ἐκκλησιαστικόν.

ὕπαρ ἀλήθεια οὐκ ἐν ὀνείρῳ, τὸ μεθ' a
ἡμέραν ὄναρ. οἷον φανερῶς, ἀληθῶς ὑπάρχον. (Iulian. ep. 50) "ἐμοὶ διηγοῦ σὺ τοὐμὸν ὄναρ, ἐγὼ δ' ἔοικα τὸ σὸν ὕπαρ ἀφηγεῖσθαι." ὕπαρ λέγει τὸ μεθ' ἡμέραν ὄναρ, ὡς ἐναργῶς ὑπάρχον ἀληθές, κατ' ἀποκοπὴν τῆς τελευταίας συλλαβῆς τῆς χον.

ὕπαρ ἐγρηγορός, ὀπτασία ἀληθὴς βε- b
βαίας καὶ ἀληθοῦς ἀγγελίας.

ὑπαραττομένης κινουμένης, πληττομένης· "ἵππων χρεμετιζόντων, τῆς γῆς τοῖς ποσὶν αὐτῶν ὑπαραττομένης, ὅπλων συγκρουομένων."

ὑπαρκτά μόνιμα, ὑπάρχοντα.

ὑπαρξάμενος κατάρξας. "χρόνῳ δὲ οἱ Ἕλληνες, Χίων ὑπαρξάντων, ἐπρεσβεύσαντο πρὸς Λακεδαιμονίους."

ὕπαρχος ὁ ὑφ' ἑτέρου ἀρχόμενος, ὁ ὑποτεταγμένος ἑτέρῳ, ὁ μὴ ὢν αὐτοκράτωρ. Σοφοκλῆς (Ai. 1102) "Σπάρτης ἀνάσσων ἦλθες, οὐχ ἡμῶν κρατῶν, οὐδ' ἔσθ' ὅπου σοὶ τόνδε κοσμῆσαι πλέον ἀρχῆς ἔκειτο θεσμὸς ἢ καὶ τῷδε σέ." ὕπαρχος ἄλλων δεῦρ' ἔπλευσας, οὐχ ὅλων στρατηγὸς ὥστ' Αἴαντος ἡγεῖσθαί ποτε.

ὑπάρχων προκατάρχων· (Athen. p. 612) "ὡς οὐχ ὑπάρχων ἀλλὰ τιμωρούμενος." καὶ τὸ ὑπάρχειν οὐχ ἁπλῶς τὸ εἶναι σημαίνει, ἀλλὰ τὸ πάλαι εἶναι καὶ προεῖναι, φθάνειν· Μένανδρος "οὐχὶ παρακληθέντας ὑμᾶς δεῖ γὰρ ἡμῖν εὐνοεῖν, ἀλλ' ὑπάρχειν τοῦτο."

ὑπασπισταί δορυφόροι· "τῷ δὲ Χοσρόῃ ὑπασπισταὶ καὶ δορυφόροι λ' ὑπῆρχον."

ὑπατεία ἡγεμονία.

*ὕπατε κρειόντων* (Hom. Θ 31) βασιλεῦ βασιλευόντων, ἐξοχώτατε, μέγιστε.

*ὑπάτη* χορδὴ μουσικὴ βαρὺν φθόγγον ἀποτελοῦσα. (AP 7 233) "νοῦσον ὅτ' εἰς ὑπάτην ὠλίσθανε, τέρμα τ' ἄφυκτον εἶδεν, ἀριστείην ἐμφανὲς εἰς ἰδίην· πῆξε δ' ὑπὸ σπλάγχνοισιν ἑὸν ξίφος."

*Ὑπατία* ἡ Θέωνος τοῦ γεωμέτρου θυγάτηρ, τοῦ Ἀλεξανδρέως φιλοσόφου, καὶ αὐτὴ φιλόσοφος καὶ πολλοῖς γνώριμος, γυνὴ Ἰσιδώρου τοῦ φιλοσόφου, ἤκμασεν ἐπὶ τῆς βασιλείας Ἀρκαδίου. ἔγραψεν ὑπόμνημα εἰς Διόφαντον, τὸν ἀστρονομικὸν κανόνα, εἰς τὰ κωνικὰ Ἀπολλωνίου ὑπόμνημα. αὕτη διεσπάσθη παρὰ τῶν Ἀλεξανδρέων, καὶ τὸ σῶμα αὐτῆς ἐνυβρισθὲν καθ' ὅλην τὴν πόλιν διεσπάρη. τοῦτο δὲ πέπονθε διὰ φθόνον καὶ τὴν ὑπερβάλλουσαν σοφίαν καὶ μάλιστα εἰς τὰ περὶ ἀστρονομίαν, ὡς μέν τινες, ὑπὸ Κυρίλλου, ὡς δέ τινες, διὰ τὸ ἔμφυτον τῶν Ἀλεξανδρέων θράσος καὶ στασιῶδες. πολλοῖς γὰρ καὶ τῶν κατ' αὐτοὺς ἐπισκόπων τοῦτο ἐποίησαν· τὸν Γεώργιον σκόπει καὶ τὸν Προτέριον.

b αὕτη ἐν Ἀλεξανδρείᾳ καὶ ἐγεννήθη καὶ ἀνετράφη καὶ ἐπαιδεύθη, τὴν δὲ φύσιν γενναιοτέρα τοῦ πατρὸς οὖσα οὐκ ἠρκέσθη τοῖς διὰ τῶν μαθημάτων παιδεύμασιν ὑπὸ τῷ πατρί, ἀλλὰ καὶ φιλοσοφίας ἥψατο τῆς ἄλλης οὐκ ἀγεννῶς, περιβαλλομένη δὲ τρίβωνα ἡ γυνὴ καὶ διὰ μέσου τοῦ ἄστεος ποιουμένη τὰς προόδους ἐξηγεῖτο δημοσίᾳ τοῖς ἀκροᾶσθαι βουλομένοις ἢ τὰ τοῦ Πλάτωνος ἢ τοῦ Ἀριστοτέλους ἢ ἄλλου ὁτουδὴ τῶν φιλοσόφων. πρὸς δὲ τῷ διδασκαλικῷ καὶ ἐπ' ἄκρον ἀναβᾶσα τῆς πρακτικῆς ἀρετῆς, δικαία τε καὶ σώφρων γενομένη, διετέλει παρθένος, οὕτω σφόδρα καλή τε οὖσα καὶ εὐειδὴς ὥστε καὶ ἐρασθῆναί τινα αὐτῆς τῶν προσφοιτώντων. ὁ δὲ οὐχ οἷόστε ἦν κρατεῖν τοῦ ἔρωτος, ἀλλ' αἴσθησιν ἤδη παρείχετο καὶ αὐτῇ τοῦ παθήματος. οἱ μὲν οὖν ἀπαίδευτοι λόγοι φασὶ διὰ μουσικῆς αὐτὸν ἀπαλλάξαι τῆς νόσου τὴν Ὑπατίαν· ἡ δὲ ἀλήθεια διαγγέλλει πάλαι μὲν διεφθορέναι τὰ μουσικῆς, αὐτὴν δὲ προενεγκαμένην τι τῶν γυναικείων ῥακῶν αὐτοῦ βαλλομένην, καὶ τὸ σύμβολον ἐπιδείξασαν τῆς ἀκαθάρτου γενέσεως, "τούτου μέντοι" φάναι "ἐρᾷς, ὦ νεανίσκε, καλοῦ δὲ οὐδενός." τὸν δὲ ὑπ' αἰσχύνης καὶ θάμβους τῆς ἀσχήμονος ἐπιδείξεως διατραπῆναί τε τὴν ψυχὴν καὶ διατεθῆναι σωφρονέστερον. οὕτω δὲ ἐχουσαν τὴν Ὑπατίαν, ἔν τε τοῖς λόγοις ἐντρεχῆ οὖσαν καὶ διαλεκτικὴν ἔν τε τοῖς ἔργοις ἔμφρονά τε καὶ πολιτικήν, ἥ τε ἄλλη πόλις εἰκότως ἠσπάζετό τε καὶ προσεκύνει διαφερόντως, οἵ τε ἄρχοντες ἀεὶ προχειριζόμενοι τῆς πόλεως ἐφοίτων πρῶτοι πρὸς αὐτήν, ὡς καὶ Ἀθήνησι διετέλει γινόμενον· εἰ γὰρ καὶ τὸ πρᾶγμα ἀπόλωλεν, ἀλλὰ τό γε ὄνομα φιλοσοφίας ἔτι μεγαλοπρεπές τε καὶ ἀξιάγαστον εἶναι ἐδόκει τοῖς μεταχειριζομένοις τὰ πρῶτα τῆς πολιτείας. ἤδη γοῦν ποτὲ συνέβη τὸν ἐπισκοποῦντα τὴν ἀντικειμένην αἵρεσιν Κύριλλον, παριόντα διὰ τοῦ οἴκου τῆς Ὑπατίας, ἰδεῖν πολὺν ὠθισμὸν ὄντα πρὸς ταῖς θύραις ἐπιμὶξ ἀνδρῶν τε καὶ ἵππων, τῶν μὲν προσιόντων τῶν δὲ ἀπιόντων τῶν δὲ καὶ προσισταμένων, ἐρωτήσαντα δὲ ὅ τι εἴη τὸ πλῆθος καὶ περὶ οὗ κατὰ τὴν οἰκίαν ὁ θόρυβος, ἀκοῦσαι παρὰ τῶν ἑπομένων ὅτι προσαγορεύοιτο νῦν ἡ φιλόσοφος Ὑπατία, καὶ ἐκείνης εἶναι τὴν οἰκίαν. μαθόντα δὲ οὕτω δηχθῆναι τὴν ψυχὴν ὥστε φόνον αὐτῇ ταχέως ἐπιβουλεῦσαι πάντων φόνων ἀνοσιώτατον· προελθούσῃ γὰρ κατὰ τὸ εἰωθὸς ἐπιθέμενοι πολλοὶ ἀθρόοι θηριώδεις ἄνθρωποι, ὡς ἀληθῶς σχέτλιοι, οὔτε θεῶν ὄπιν εἰδότες οὔτ' ἀνθρώπων νέμεσιν, ἀναιροῦσι τὴν φιλόσοφον, ἄγος τοῦτο μέγιστον καὶ ὄνειδος προστριψάμενοι τῇ πατρίδι. καὶ ὁ βασιλεὺς ἠγανάκτησεν ἐπὶ τούτῳ, εἰ μὴ Αἰδέσιος ἐδωροδοκήθη καὶ τῶν μὲν σφαγέων ἀφείλετο τὴν ποινήν, ἐφ' ἑαυτὸν δὲ καὶ γένος τὸ ἀφ' ἑαυτοῦ ταύτην ἐπεσπάσατο, καὶ ἐξέπλησε δίκην ὁ τούτου ἔκγονος. τούτων δὲ ἡ μνήμη ἔτι σωζομένη τοῖς Ἀλεξανδρεῦσι συνέστελλεν εἰς μικρὸν κομιδῇ τὴν περὶ τὸν Ἰσίδωρον τῶν Ἀλεξανδρέων τιμήν τε καὶ σπουδήν, ὅτε καὶ τοιούτου ἐπικρεμαμένου δέους ὅμως ἕκαστοι ἔσπευδον αὐτῷ συνεῖναι θαμὰ καὶ τῶν ἀπὸ τοῦ σωφρονοῦντος στόματος ἰόντων ἀκροᾶσθαι λόγων, ἐπεὶ καὶ ὅσοι ῥητορικῶν προΐσταντο διατριβῶν ἢ ποιητικῶν, ἠσπάζοντο τὴν τοῦ φιλοσόφου συχνὴν ὁμιλίαν. εἰ γὰρ καὶ ἀνάγωγος ἦν τὰ τοιαῦτα, ἀλλὰ τῇ γε ἄλλῃ φιλοσόφῳ ἀκριβείᾳ προσετίθει τι καὶ ἐκείνοις ἐπιμελέστερον εἰς τὰ σφέτερα αὐτῶν τεχνύδρια. τά τε γὰρ ἄλλα διηκρίβωτο, καὶ τῶν ἐπιδεικνυμένων λόγων τε καὶ ποιημάτων κρί-

σιν ἐποιεῖτο διαφέρουσαν τῶν ἄλλων. διὸ καὶ ἐν τοῖς ἐπί τινι λογικῇ ἀκροάσει θεάτροις ὀλίγα μὲν ἐπῄνει τοὺς ἐπιδεικνυμένους καὶ πάνυ ἡσυχάζοντι τῷ ἐπαίνῳ, καιρίως δὲ ὅμως καὶ κατὰ λόγον. ὅθεν ἅπαν τὸ θέατρον ὡς εἰπεῖν τῇ ἐκείνου κρίσει γνώμονι διεχρῆτο τῶν ἄμεινον ἢ χεῖρον λεγόντων. τῶν δὲ ἐπ' ἐμοῦ γεγονότων κριτικοὺς ἄνδρας ἐπίσταμαι τρεῖς τὰ λεγόμενα κρίνειν δυναμένους ἄνευ τε μέτρου. τοῦ γὰρ αὐτοῦ ἡ μὲν κρίσις ὁμολογεῖται ὅσα ποιημάτων καὶ συγγραμμάτων· ἐγὼ δὲ καὶ δημιουργὸν ἡγοῦμαι τὸν αὐτὸν ἑκατέρων, μόνον εἰ γυμνασία πρὸς ἑκάτερον ἴση γένοιτο καὶ διὰ προθυμίας τῆς ἴσης. ἕνα δὲ τούτων οὗ φημι τὸν Ἰσίδωρον, ἀλλὰ καὶ πολλῷ ἐλαττοῦσθαι τῶν τριῶν. οἱ δὲ κριταὶ Ἀγάπιος Σεβηριανὸς Νόμος. ἡμέτερος δὲ ἡλικιώτης ὁ Νόμος. Damascius.

a ὕπατοι (an ἥπατοι) εἶδος ἰχθύος κητώδους, οἳ καλοῦνται καὶ πρόβατα καὶ πρέποντες. ἀριθμοῖτο δ' ἂν ἐν τούτοις καὶ ὁ ὄνος. Aelian. H. A. 9 38.

b ὕπατοι οἱ τὴν τῶν Ῥωμαίων πολιτείαν διοικοῦντες. ἀποσεισαμένη γὰρ τὴν δουλείαν ἡ πολιτεία μετὰ θάνατον Ταρκυνίου δύο στρατηγοῖς, ἐνιαυσιαίαν ἔχουσιν ἀρχήν, τὴν ἐξουσίαν ἐπέτρεψε, τῷ μὲν ἀριθμῷ τῶν ἀνδρῶν τὸν τῆς μοναρχίας διωθουμένη φόβον, τῷ δὲ συνεσταλμένῳ τῆς ἐξουσίας μετρίους τοὺς ἐν τῇ προστασίᾳ τῶν κοινῶν ἀπεργαζομένη. ὁ γὰρ νῦν ὑπὸ πελέκεσί τε καὶ ῥάβδοις δορυφορούμενος καὶ στρατοπέδων ἐξηγούμενος, τῆς μετ' ὀλίγον μεταβολῆς εἰς ἔννοιαν καθιστάμενος μέτριόν τε καὶ δημοτικὸν παρεῖχεν ἑαυτὸν τοῖς ἀρχομένοις. εἰ δ' ἄρα τις βαρέως τε καὶ ἀλαζονικῶς χρῷτο τῇ δυναστείᾳ, ῥᾳδίως οὗτος ὑπὸ θατέρου τῶν ἡγεμόνων, ἰσοπαλῆ δύναμιν ἔχοντος, γυμνοῦται τοῦ φρονήματος. τούτῳ μὲν δὴ τῷ τρόπῳ τῆς πολιτείας φυγούσης τυραννίδος βαρύτητα καὶ δημοκρατίας ἀκολασίαν, προχειρίζεται πρώτους στρατηγοὺς αὐτοκράτορας ἄνδρας δύο, κονσούλους αὐτοὺς ὀνομάσασα οἷα δὴ προβούλους καὶ προηγόρους τινάς· οὓς Ἕλληνες μετὰ ταῦτα διὰ τὴν ὑπεροχὴν τῆς ἐξουσίας ὑπάτους προσηγορεύκασι. Io. Antioch.?

c πρῶτος δὲ ὕπατος εὐνούχων ἀπεδείχθη ἐπὶ Ὀνωρίου καὶ Ἀρκαδίου, τῶν υἱῶν Θεοδοσίου, Εὐτρόπιος ὁ πρόκοιτος τοῦ βασιλέως. ἐδιφροφορεῖτο δὲ διὰ τῆς πόλεως, οὐδὲν τῶν δεινῶν ἀπολιμπάνων, τὰς μὲν ἀρχὰς ··· ἐκεῖθεν ἀφῃρέθη. cf. v. Εὐτρόπιος a.

d Θεοδόσιος δὲ ὁ μικρὸς διαβληθέντα αὐτῷ Ἀντίοχον τὸν πραιπόσιτον καθεῖλε τῆς τιμῆς, καὶ δημοσιεύσας αὐτὸν ἐν τοῖς ἱερεῦσι κατέταξε, διάταξιν ἐκφωνήσας, εὐνοῦχον ἐν τοῖς πατρικίοις μὴ τελεῖν. cf. v. Ἀντίοχος c.

ὕπατον μέγαν, ὑψηλόν.

ὑπ' αὐγάς ὑπὸ τὸν ὄρθρον, ἢ ὑπὸ τὸν πεφωτισμένον ἀέρα.

ὕπαυλον ἐνδόμυχον, ὑπὸ τὴν αὐλὴν τῆς σκηνῆς. sch. S Ai. 796.

ὑπαχθέντες ἀπατηθέντες.

ὑπέβρεχον οἴνῳ ἐμεθύσκοντο· "εἶτα ὑπέβρεχον θαμινὰ πίνοντες καὶ ἀκράτου σπῶντες."

ὑπεδέξαντο ἐνεχειρίσαντο, ἀνελάβοντο· "οἷς μὴ βουληθέντες ὡς κατ' αὐτοῦ στρατευομένοις συμμαχεῖν, τὸν πόλεμον ὑπεδέξαντο."

ὑπεδέξαντο, καὶ ὑπεδέχοντο· "πολλοὶ δὲ τῶν Γετῶν μεθίσταντο, καὶ τρισχίλιοι κατεκομίσθησαν. ἐντυχόντες δὲ τοῖς στρατηγοῖς εὔνοί τε ἔσεσθαι ὑπεδέχοντο καὶ ὑπακούειν τοῖς ἐπιτάγμασιν."

ὑπέδυ (Hom. κ 398) ὑπεισῆλθεν.

ὑπέδυσαν ἐδεδοίκεσαν· "παραυτίκα ἐπιθέσθαι οἷσπερ πάλαι ὑπέδυσαν" (cf. v. Μάρδοι).

ὑπεζωσμένος περιβεβλημένος, ἐπισυρόμενος.

ὑπειδόμενος ὑφορώμενος, καὶ ὑπείδετο προσεδόκησε. "τὸ δὲ μειράκιον οὐδὲν ὑπειδόμενον· τίς δ' ἂν ὑπώπτευε κρέας ὑπὸ ξένων καὶ πτωχῶν ἐπὶ κοινοῦ δεδομένον;"

ὑπεικάθων ὑποχωρῶν, καὶ ὑπεικάθοιμι.

ὑπειλημμένον ὑπονενοημένον.

ὑπείξομεν ὑποκύψομεν, ὑποχωρήσομεν.

ὑπείπομεν ἀντὶ τοῦ προείπομεν. καὶ ὑπειπεῖν ὑπαγορεύειν.

ὑπειπούσης παρ' Ἀριστοφάνει (Plut. 998) ἀντὶ τοῦ ἠρέμα φθεγξαμένης. "κατεσπούδασταί σοι, ὦ γενναῖε, καὶ τὸ τῆς πρεσβείας ὑπειπὼν ὄνομα, ἐν μοίρᾳ ἡμᾶς τῇ ἀτιμοτάτῃ συντάξαι."

Ὑπείρονος. Hom. Ε 144.

Ὑπειροχίδης. Hom. Λ 673.

ὑπείροχος ὁ ὑπερέχων.

ὑπεκίνει παρέτρεπε· "πρῶτον μὲν ὑπεκίνει αὐτοῖς τὰς γνώμας, ἔπειτα ἐς λαλιὰν

πολλὴν καὶ ἀνόητον προῆγεν."

ὑπέκκαυμα ἡ ὕλη τῆς φλογός, ἡ τροφή. καὶ τῶν παθῶν ὑπεκκαύματα αἱ τροφαὶ τῶν παθῶν, αἳ τρέφουσι τὰ πάθη.

ὑπεκρούσω ἤνιξω· Ἀριστοφάνης Πλούτῳ ⟨548⟩ "τὸν ἐμὸν βίον εἴρηκας, τὸν τῶν πτωχῶν δ' ὑπεκρούσω." ἢ ἀντὶ τοῦ ἐφθέγξω, ἀνεκρούσω, ἀπὸ μεταφορᾶς τῶν κιθαρῶν ἤ τινος ἄλλου ὀργάνου.

ὑπελάβομεν προσδεχόμεθα, φησί, ταύτην σου τὴν ἐπικουρίαν. Δαβίδ ⟨Ps. 47 9⟩ "ὑπελάβομεν ὁ θεὸς τὸ ἔλεός σου ἐν μέσῳ τοῦ λαοῦ σου."

ὑπελθεῖν ὑποδραμεῖν. καὶ ὑπελθούσης ἀντὶ τοῦ ἀπατησάσης· ⟨Ioseph. A. I. 5 1 2⟩ "οἱ δὲ τῆς γυναικὸς αὐτοὺς οὕτως ὑπελθούσης οὐδένα ὑπονοήσαντες δόλον ἀπῆλθον."

ὑπελύθη ἐξητόνησεν, ἐξεχαυνώθη· "ἐν δὲ τούτῳ τὸ ἀκμαιότατον τῆς ὁρμῆς αὐτοῖς ὑπελύθη."

ὑπέμβρυον ⟨Hom. ι 245⟩ τὸ ὑπὸ τῇ θηλαζούσῃ νεογνόν.

ὑπέμειναν προσεδόκησαν· ⟨Ps. 118 95⟩ "ἐμὲ ὑπέμειναν ἁμαρτωλοί."

ὑπέμεινεν ἔκρινεν, ἐλογίσατο· "ὁ δὲ Τίτος διαφυγόντα μὲν ἐκ τῶν πολεμίων ἀνελεῖν οὐχ ὑπέμεινε, διεδέξατο δὲ τῆς στρατιᾶς." καὶ αὖθις "ὁ δὲ Πρόκλος ἐκέλευσεν Ἰσίδωρον τριβωνοφορεῖν· ὃ δὲ οὐχ ὑπέμεινε, καὶ ταῦτα Πρόκλον ἴσα καὶ θεῷ σεβόμενος" ⟨cf. v. τριβωνοφόρος⟩.

ὑπένερθεν ⟨Hom. Β 150⟩ ὑποκάτωθεν.

ὑπενήνεκται ὑπεσύρη.

ὑπενόθευσεν ⟨2 Maccab. 4 7⟩ ὑπέφθειρεν.

ὑπενόμευεν ὑπόνομον εἰργάζετο, ὑπώρυττε· "τῆς δὲ γῆς ὑπαντώσης ταύτην ὑπενόμευεν."

ὑπενοστήσαμεν ὑπεχωρήσαμεν, ἐπανήλθομεν.

ὑπεξελεύσεις τιμωρίας, βασάνους, ἐφευρέσεις· Πισίδης "ὁ δὲ Χοσρόης ὑπεξελεύσεις ποικίλας ὑφίσταται ἐμπόνους."

ὑπεξέπεμψεν ὑπεξήγαγεν, ἀπέπεμψεν· Ἰάμβλιχος "ὄντας ὡραίους καὶ καλοὺς τοὺς παῖδας ὁ πατὴρ ὑπεξέπεμψεν εἰς τοὺς ποιμένας, φοβούμενος τύραννον ὑβριστήν" ⟨cf. v. διακωδωνίσω⟩.

ὑπεξέσχεν ἀφίκετο· "ὅτι Κάμιλλος ὁ τῶν Ῥωμαίων στρατηγὸς ἐπιφθονώτατος τοῖς πολίταις γενόμενος, ἐγράφη ὑπὸ τῶν δημάρχων ὡς μηδὲν ἐκ τῆς λείας τῶν πολεμίων τὸ δημόσιον ὠφελήσας, καὶ ἑκουσίως πρὸ τῆς δίκης ὑπεξέσχεν." οὕτω Δίων ⟨Cass. fr. 24 4⟩. καὶ Ἡρόδοτος ⟨6 74⟩ "ὁ δὲ δεῖμα ἔλαβε Σπαρτιητέων, καὶ ὑπεξέσχεν ἐς Θεσσαλίην. ἐντεῦθεν ἀφικόμενος ἐς τὴν Ἀρκαδίην νεώτερα ἔπρησσε πρήγματα." ὑπεξέσχεν οὖν ἀντὶ τοῦ ἔφυγεν, ἀπέδρασεν.

ὑπεξηρήσθωσαν ἐκβεβλήσθωσαν, χωρισθήτωσαν.

ὑπεξιοῦσα· "νεᾶνις γὰρ ἄρτι τῶν παρθενικῶν θαλάμων ὑπεξιοῦσα."

ὑπέπισα ἐπότισα.

ὑπέπριε τοὺς ὀδόντας.

ὑπὲρ πλέον. καὶ ὁ ἀπόστολος ⟨2 Cor. 11 23⟩ "ὑπὲρ ἐγώ" ἀντὶ τοῦ πλέον ἐγώ.

ὑπέρα τὸ τοῦ κέρατος τοῦ ἱστοῦ σχοινίον, ᾧ ἀνίεταί τε καὶ διατείνεται. γέγονε δὲ ἀπὸ τούτου παροιμία ἐπὶ τῶν ἃ δεῖ ἔχειν ἀφιέντων, ἃ δὲ μὴ δεῖ κρατούντων.

ὑπεράγασθαι ὑπερθαυμάζειν.

ὑπεράγοντα ὑπερέχοντα· "τὸν δὲ ὑψηλὸν ἡλικίᾳ ὄντα, καὶ ὑπεράγοντα τὸν ἐπίσκοπον, τὴν βλάβην τῇ κεφαλῇ δέξασθαι."

ὑπεραίρομαι ὑψοῦμαι· "ἵνα μὴ ὑπεραίρωμαι" ὁ ἀπόστολος ⟨2 Cor. 12 7⟩.

ὑπεραίσιον τὸ ὑπὲρ τὴν μοῖραν.

ὑπέρακμος ὑπερδραμὼν τὴν ὥραν.

ὑπερακοντίζεις σύ γ' ἤδη Νικίαν τὸν στρατηγοῦντα μηχαναῖς καὶ τοῖς στρατηγήμασι" ⟨A Av. 362⟩. Σύμμαχος πρὸς τὴν Μήλου πολιορκίαν. Φρύνιχος Μονοτρόπῳ "ἀλλ' ὑπερβέβληκε πολὺ τὸν Νικίαν στρατηγίας πλήθει τε καὶ εὑρήμασιν." ἢ ὅτι φρονιμώτατα Μηλίους λιμῷ ἀνεῖλεν.

ὑπεραλγῆ χόλον ⟨S El. 176⟩ ἄγαν ὀδυνηρόν, λυπηρόν. καὶ αὖθις ⟨Polyb. 3 79⟩ "ὑπεραλγὴς ὢν διὰ τὴν βαρύτητα τῆς ἐπενεχθείσης ὀφθαλμίας αὐτῷ." καὶ αὖθις "ὁ δὲ ἵππος ὑπεραλγὴς ὢν ἐκ τῆς πληγῆς ῥύδην ἐφέρετο" ⟨cf. v. ἀποσφαλμήσας⟩.

ὑπεραναιδεσθήσομαι τῇ ἀναιδείᾳ νικηθήσομαι, οἷον ἀναιδέστερός μοι φανήσεται. sch. A Eq. 1203.

ὑπερανάστης μετανάστης, μεταβάτης.

ὑπέραντλον πλήρη· "οἱ δὲ ὑπέραντλον ποιησάμενοι τὸ πλοῖον ἀσφαλῶς παρεκομίσθησαν εἰς τὴν νῆσον."

ὑπεράριθμος· "οὗτος ὁ ἀριθμὸς τῶν

σχολαρίων καλυμένων. τρισχιλίων πεντακοσίων ὄντων, ἑτέρυς δισχιλίυς ἐντέθεικεν Ἰυστινιανός, οὓς οὕτως ἐκάλεσεν" (cf. Procop. Arc. 24).

ὑπερασπιστής φύλαξ, βοηθός.

ὑπερβάθμιον πόδα ῥιπτῶν ἀντὶ τῦ ἀτάκτως, ἀπρεπῶς διαπραττόμενος· (Damasc.) "οὐδὲ ὑπερβάθμιον πόδα ῥιπτῶν κατὰ τὸ λόγιον εἰς τὴν θεοσέβειαν, ἀλλὰ μέτρα ὁρίζων ἑαυτῷ τῆς ἡλικίας ἄξια, γνησίῳ καὶ καθαρῷ συνειδότι μεταχειρίζων τὰ περὶ τὺς θεούς."

ὑπερβαλλόντως λίαν.

ὑπερβάλοι ὑπερδράμοι.

ὑπερβασίας (Hom. χ 168) ὅρκων παραβάσεις, ἐπιορκίας.

ὑπερβερεταῖος ὄνομα μηνός, καὶ παροιμία ὑπερβερεταῖος. ἐπὶ τῶν ὑπερχρονίων εἴρηται· παρὰ γὰρ Μακεδόσιν ὁ τελευταῖος μὴν τοῦ ἐνιαυτοῦ ὑπερβερεταῖος ἀνεγράφη.

ὑπερβίη ἡ ἀδικία.

ὑπέρβιον ὑπερβίως, οἷον ἄγαν βιαίως ἢ ὑπερβαλλόντως τῇ βίᾳ. ὑπερήφανον.

ὑπερβολή ἡ ἀνόρθωσις. "πολλῦ ὠθισμοῦ γενομένυ ἐν τῇ τῶν κλιμάκων ὑπερβολῇ." καὶ αὖθις "ἐν ταῖς τῶν ὀρῶν ὑπερβολαῖς ἐκρύπτετο."

ὑπερβολιμαῖον.

ὑπέρβολον λίθον· ὅτε γὰρ κατεπόντων τινάς, βάρος ἀπὸ τῶν τραχήλων ἀπεκρέμαζον. Ἀριστοφάνης (Eq. 1360) "ἄρας μετέωρον εἰς τὸ βάραθρον ἐμβαλῶ, ἐκ τοῦ λάρυγγος ἐκκρεμάσας ὑπέρβολον." ἔστι δὲ καὶ ὄνομα κύριον, ἦν δὲ φιλόδικος· Ἀριστοφάνης (Ach. 846) "κοὐ ξυντυχών σ' Ὑπέρβολος δικῶν ἀναπλήσει." καὶ ἔςιν ἐν τῷ ἀναπειστηρίαν περὶ τοῦ Ὑπερβόλου.

Ὑπέρβολος δημαγωγὸς ἦν, ὃν Θυκυδίδης ἐν τῇ ή (73) ἐξωστρακίσθαι φησίν.

Ὑπερβόρειοι ἔθνος ἀρκτικώτερον καὶ ἐνδότερον τῶν Σκυθῶν.

Ὑπερβορέων· (AP 6 240) "νοῦσον τὴν στυγερὴν αὐθημερὸν ἐκ βασιλῆος ἐσθλοτάτου πέμψαις ἄχρις Ὑπερβορέων," ἀντὶ τοῦ πόρρω αὐτοῦ.

ὑπερβριθές μέγα καὶ βαρύ· (S Ai. 951) "ὑπερβριθὲς ἄχθος ἤνυσαν."

ὑπεργαμία ἡ ὀψιγαμία.

ὑπέργηρως ἀττικῶς.

ὑπερδέα δῆμον (Hom. P 330) ὑπερβαλλόντως ἐνδεᾶ, οἷον πάνυ ἐλάσσονα κατὰ δύναμιν, τὸν ἄγαν ἐνδεῦ.

ὑπερδέξιον χωρίον. "εἶχον δ' ὑπερδέξιον" οἷον χαλεπώτατον Ξενοφῶν φησίν (Anab. 4 8 2).

ὑπερεδυνάμωσαν κατεδυνάστευσαν· Δαβίδ (Ps. 64 3) "λόγοι ἀνόμων ὑπερεδυνάμωσαν."

ὑπερέθεντο ἐβυλεύσαντο· "τῦτον καταβαλεῖν ὑπερέθεντο, καὶ πρὸς μάχην εἶδον."

Ὑπέρεια (Hom. Z 457) ὄνομα κρήνης.

ὑπερείδυσα ὑποστηρίζυσα, καὶ ὑπερείσουσιν, ἐκ τοῦ ἐρείδω τὸ ἀκυμβίζω.

ὑπερεμφορεῖσθαι ὄψων.

ὑπὲρ ἐπιξήνου θελήσω τὴν κεφαλὴν ἔχων λέγειν" (A Ach. 317). ἐὰν μὴ λέγω, φησί, δίκαια, τῆς κεφαλῆς ἀφαιρεθείην. ἐπίξηνον δὲ μαγειρικὸς κορμός, ἐφ' ᾧ τὰ κρέα συγκόπτυσιν. cf. v. ἐπίξηνος.

ὑπερεπυππάζοντό με ὑπερεπλήσσοντό με, κατεπλήσσοντό με καὶ τὴν φιλοτιμίαν ὑπερεθαύμαζον τὴν ἐμήν. διασύρει δὲ αὐτοὺς ὡς μικροθαυμάστυς καὶ ταχέως ἀπατωμένυς ὀλίγῳ λήμματι. πύππαξ ἐπεφώνυν, ὃ ἡμεῖς ποππύζειν λέγομεν. sch. A Eq. 677.

ὑπερεπυρρίασεν· Ἀριστοφάνης (Ran. 307) "ὁδὶ δὲ δείσας ὑπερεπυρρίασεν," ἀντὶ τοῦ πυρρὸς ἐγένετο.

ὑπερέσχεθε γαίης. Ὅμηρος (Λ 734) περὶ ἡλίου φησὶν ἐξ ἡρωικοῦ προσώπυ ὑπὲρ γῆς τὰς ἀνατολὰς εἶναι, ὁ δὲ αὐτὸς ἐκ τοῦ ἰδίυ προσώπυ ἐξ ὠκεανοῦ.

ὑπερευδοκούμενοι ὑπεραρεσκόμενοι· "οἱ δὲ Ῥωμαῖοι ὑπερευδοκούμενοι κατὰ πάντα τρόπον τῇ τῦ Σκιπίωνος ὁμολογίᾳ καὶ τῷ χειρισμῷ τῶν πραγμάτων."

ὑπερέχει ὑπερμαχεῖ, ὑπερασπίζει. καὶ (A Pac. 17) "ὑπερέχειν τῆς ἀντλίας," ἀντὶ τοῦ περιγίνεσθαι τοῦ πράγματος μὴ δύνασθαι.

Ὑπερέχιος Ἀλεξανδρεὺς γραμματικός, ἐπὶ τῶν χρόνων Μαρκιανοῦ τοῦ βασιλέως, ἔγραψε τέχνην γραμματικήν, περὶ ὀνομάτων, περὶ ῥήματος καὶ ὀρθογραφίας.

ὑπερέχων ὑπερνικῶν· "καί τις ἦν περὶ τοὺς πλείστους καλλωπισμὸς ὑπερέχων τὴν τῦ βίυ χορηγίαν" (cf. v. ἐσπούδαζον).

ὑπερηγάπησεν· (Ioseph. A.I. 12 4 6) "ὁ δὲ πατὴρ τῦτον ὑπερηγάπησε τοῦ φρονήματος καὶ τῆς ὀξυτάτης διανοίας ὑπερεπαινέ-

σας."

ὑπερηγάσϑην ὑπερεϑαύμασα.

ὑπερηγορῶν ὑπὲρ αὐτοῦ λαλῶν· (Damasc.) "ὁ δὲ Ἰσίδωρος ὑπερηγορῶν τοῦ Σωκράτους βαϑύτερον ἢ κατ' ἀκροατὰς διελέγετο."

ὑπερημερίας ὑπερβαλλούσης ἐκπροϑεσμίας, ὅταν μετὰ μίαν ἡμέραν τῆς μνείας ἔλϑῃ.

ὑπερήμεροι οἱ ἐν ταῖς καταδίκαις πρὸς ἔκτισιν ἡμέρας λαβόντες καὶ μὴ διαλυσάμενοι. οἱ δίκην ὀφείλοντες ὁποιανοῦν καὶ τὰ ἐπιτίμια τοῖς ἑλοῦσι μὴ ἀποδιδόντες ἐν ταῖς τακταῖς προϑεσμίαις ὑπερήμεροι ἐκαλοῦντο. τὸ δὲ πρᾶγμα ὑπερημερία. Harp.

ὑπερήμερος ὑπερπρόϑεσμος ἢ ἐκπρόϑεσμος· (Procop. Goth. 4 26) "τοῖς δὲ δὴ ἐπὶ τῆς Ἰταλίας στρατιώταις ἐκλῦσαι τὰ πρόσϑεν ὀφλήματα πάντα, ἐφ' οἷσπερ αὐτοῖς ὑπερήμερος χρόνου πολλοῦ βασιλεὺς ἐγεγόνει, οὐ κομιζομένοις ἐκ τοῦ δημοσίου τὰς συντάξεις."

ὑπερήμερος καὶ ὑπερημερία. ὅταν μετὰ τὴν κυρίαν, ἑορτὴν τυχὸν ἢ τινος ἄλλου ἢ συλλόγου ἢ δεδειγμένου πράγματος, ἀπαντήσῃ τις, τότε ὑπερήμερος καὶ ἐξ ὑπερημερίας ἐληλυϑέναι λέγεται, καὶ κατόπιν τῆς ἑορτῆς, εἰ τύχοι, πλεῖστον τῆς ἑορτῆς ἀπολειφϑείς.

ὑπερηνορεόντων ὑπερεχόντων τῇ δυνάμει.

ὑπερήνωρ ὑπερήνορος.

ὑπερῆραν ὑπερέβησαν· Πολύβιος (1 25) "κάμψαντες δὲ τὸν Πάχυνον ὑπερῆραν εἰς Ἔκνομον."

ὑπερηφανημένος ἀντὶ τοῦ καταπεφρονημένος παρά τινος.

ὑπερηφανία.

ὑπερήφανον πολύ· "πάντων τῶν τοίχων κεκονιαμένων εἰς ὕψος ὑπερήφανον."

ὑπερήφανος. "πάσῃ κακίᾳ ἀντίκειται ἀρετή, τῇ λαγνείᾳ ἡ σωφροσύνη, τῇ λαιμαργίᾳ ἡ ἐγκράτεια, τῇ πλεονεξίᾳ ἡ δικαιοσύνη, τῇ ὀργῇ ἡ πραότης, τῇ λύπῃ ἡ χαρά, τῇ λήϑῃ ἡ μνήμη, τῇ ἀκηδίᾳ ἡ ὑπομονή, τῇ ἀφροσύνῃ ἡ φρόνησις, τῇ δειλίᾳ ἡ ἀνδρία, τῇ κενοδοξίᾳ ἡ ταπεινοφροσύνη, καὶ ταῖς λοιπαῖς. τῷ δὲ τύφῳ μόνῳ οὐκ ἀντίκειται ἀρετὴ διὰ τὴν ὑπερβάλλουσαν κακίαν, ἑαυτὸν δὲ ἀντέταξεν ὁ ϑεός· κύριος γὰρ ὑπερηφάνοις ἀντιτάσσεται, καὶ ὁ προφήτης (Ps. 73 4) 'ἔπαρον τὰς χεῖράς σου ἐπὶ τὰς ὑπερηφανίας αὐτῶν,' καὶ (93 2) 'ἀπόδος ἀνταπόδοσιν τοῖς ὑπερηφάνοις.' παρὰ δὲ τῷ ἀποστόλῳ (Rom. 1 30) τοὺς κατὰ τῶν οὐκ ἐχόντων ἐφ' οἷς ἔχουσι φυσωμένους ὑπερηφάνους νοητέον." καὶ Αἰλιανός "οἳ δὲ ἔκειντο ϑέαμα ἔνδοξόν τε καὶ ὑπερήφανον," ἀντὶ τοῦ περίβλεπτον. ὑπερήφανος καὶ ὁ λαμπρός· Αἰλιανός "καὶ στρωμναῖς ὕφει τινὶ ὑπερηφάνῳ κεκοσμημέναις."

ὕπερϑεν ἐπάνω· ἐν ἐπιγράμματι (AP 6 155) "οἴκου καὶ κτεάνων χεῖρας ὕπερϑεν ἔχειν."

ὑπὲρ ϑέναρος παρ' Ὁμήρῳ (E 339) ὡς τὸ πέλαγος ἐσχημάτισται ἀδετέρως.

ὑπερϑέντι ἐξειπόντι, ἀνακοινωσαμένῳ· Ἡρόδοτος (5 32) "ὁ δὲ Ἀρταφέρνης, ὥς οἱ πέμψαντι ἐς Σοῦσα καὶ ὑπερϑέντι τὰ ἐκ τοῦ Ἀρισταγόρεω λεγόμενα συνέπαινος καὶ αὐτὸς Δαρεῖος ἐγένετο, παρεσκευάσατο σ' τριήρεας."

ὑπὲρ ϑεόν ὑπὲρ ϑεῶν βούλησιν.

ὑπερϑέοντες ὑπερτρέχοντες.

ὑπερϑήσει οἰκοδομήσει.

ὑπερϑιγῶν ἀλαζόνων· "καὶ τοῖς φρονήμασιν ὑπερϑιγῶν ὡς ἂν ἤδη κεκρατηκότων."

ὑπερϑορών ὑπερπηδῶν· (Herodot. 6 134) "τῆς Δήμητρος οὐ δυνάμενον ὑπερϑορεῖν τὰς ϑύρας, ϑορόντα δὲ ἰέναι ἐπὶ τὸ μέγαρον."

ὑπεριάς οἶνος, ἀπὸ Ὑπέρα.

Ὑπερίδης υἱὸς Γλαυκίππου τοῦ ῥήτορος a
(οἳ δὲ Πυϑοκλέους), Ἀϑηναῖος ῥήτωρ, τῶν πρώτων κεκριμένων δέκα εἷς, μαϑητεύσας ἅμα Λυκούργῳ καὶ Πλάτωνι τῷ φιλοσόφῳ Ἰσοκράτει τῷ ῥήτορι. καὶ ἀπέβη μὲν δεξιὸς ῥήτωρ, γυναικῶν δὲ ἡττήϑη. ἀνῃρέϑη δὲ καὶ αὐτὸς ὑπὸ Ἀντιπάτρου τοῦ βασιλέως, ἐξαγαγόντος αὐτὸν τοῦ ἐν Ἑρμιόνῃ ναοῦ τῆς Δήμητρος δι' Ἀρχίου τοῦ ἐπικληϑέντος φυγαδοϑήρα. καὶ ἀποτμηϑεὶς τὴν γλῶτταν ἀπέϑανεν. ὁ δὲ υἱὸς αὐτοῦ Γλαύκιππος τὰ ὀστᾶ λαβὼν εἰς τὸ πατρῷον ἔϑαψε μνῆμα. εἰσὶ δὲ οἱ πάντες λόγοι αὐτοῦ ϛ'. cf. v. ὑπερόριον.

Ὑπερίδης δημαγωγὸς ἄριστος, ὃς καὶ b
φίλος ὢν Δημοσϑένους ἐγράψατο αὐτὸν ἐπὶ τοῖς Ἁρπαλείοις χρήμασιν. ἔσχε δὲ καὶ παῖ-

δα Γλαύκιππον.

ὑπέρινον τὸ λεπτόν.

Ὑπερίονα τὸν ἥλιον, ὑπὲρ ἡμᾶς ἀνατέλλοντα. καὶ Ὑπεριονίδης ὁ αὐτός.

ὑπερισθμίσας τὸν ἰσθμὸν περάσας· "ταχὺ δὲ τοὺς κέλητας καὶ τὰς ἡμιολίας ὑπερισθμίσας ἀνήχθη, σπεύδων καταλαβεῖν τὴν Ἀχαιῶν σύνοδον."

ὑπερίσταται προΐσταται, Σοφοκλῆς. Ἠλέκτρα - - - φίλοι." cf. v. οἰκονομῶ.

ὑπέρισχε ὑπερμάχει, προΐστασο· ⟨AP 6 268⟩ "σὺ δ' εὐθήρȣ τȣ̃δ' ὑπέρισχε βίȣ."

ὑπὲρ κάρα φοιτῶντα ὑπὲρ κεφαλῆς ἐρχόμενον.

ὑπερκέρωσις. ὑπερκέρωσίς ἐστιν ὅταν ἐκ τȣ̃ ἑτέρȣ μέρȣς μόνον ὑπερέχωμεν τῶν πολεμίων. ⟨Agath. 5 19⟩ "ἀλλὰ γὰρ οὔτε ἐκδρομὰς τοῖς ἵπποις καὶ ὑπερκερώσεις ποιεῖσθαι ἐδύναντο, ὡς δὴ ἀπειλημμένοι τῷ ϛρατεύματι."

ὑπερκύπτω, αἰτιατικῇ. ἰστέον δὲ ὅτι τὸ ὑπερκύπτω ἡ μὲν ἔσω γραφὴ ἔχει αἰτιατικῇ καὶ ὁ Πλούταρχος, ἡ δὲ Χαρίκλεια (Heliodor. Aethiop. 1 1) γενικῇ "ὑπερκύψαντες τοῦ ὄρȣς."

ὑπερμαζᾷ ὑπερτρυφᾷ, πλȣτεῖ, στρηνιᾷ. "οἱ δὲ Γαλάται καταπλαγέντες, ὡς ὑπερμαζώντων αὐτόχρημα τῶν Ῥωμαίων καὶ διὰ τὴν τρυφὴν ῥιπτούντων τοὺς ἄρτȣς, ἐσπείσαντο." καὶ αὖθις "ὃ δὲ ὑπερμαζῶν καὶ χρυσίῳ βάλλων καὶ τὰς κορώνας, ὁ πρότερον δοῦλος τυγχάνων."

ὑπερμᾶλλον ἐκ περισσȣ̃· "ἦν μὲν ἀπορία καὶ δέος ὑπερμᾶλλον περὶ τȣ̀ς ἀνθρώπȣς, οὐ δυναμένȣς ἐπινοῆσαι τί ποτέ ἐστι τὸ λειπόμενον."

ὑπερμαργότερος ὁ ὑπερμαινόμενος.

ὑπερμενέα ἰσχυρότερα λίαν.

ὑπερνήχεται ὑπερβαίνει.

ὑπεροιαζομένου ὑπερηφανευομένου.

ὑπεροίσων ὑπερβαλών, ὑπερενεγκών· "ὃ δὲ τὸ φρόνημα μέγα, ὡς καὶ τὸν Ἀλέξανδρον ὑπεροίσων, ἐκέκτητο."

ὕπερον ἡ τριβαία.

ὑπὲρ ὄνου σκιᾶς. λέγουσιν ὅτι Δημοσθένης ὁ ῥήτωρ ἀπολογούμενος ὑπέρ τινος κινδυνεύοντος, οὐκ ἀνεχομένων τῶν δικαϛῶν, εἶπεν "ἀκούσατε, ὦ ἄνδρες, διηγήματος τερπνοῦ. νεανίσκος ποτὲ Ἀθήνηθεν εἰς Δελφȣ̀ς ὄνον ἐμισθώσατο, μεσημβρίας δὲ καταλαβούσης καταλύσας τὸν γόμον ὑπέδυ τὴν σκιὰν τȣ̃ ὄνȣ. ἐκβαλλόμενος δὲ ὑπὸ τȣ̃ ὀνηλάτȣ μὴ καὶ τὴν σκίαν μεμισθῶσθαι λέγοντος, εἰσῆλθον εἰς δικαϛήριον ἀμφότεροι." εἰπὼν δὲ ταῦτα ὁ Δημοσθένης κατέβαινεν ἐκ τȣ̃ βήματος. ἀξιόντων δὲ τῶν δικαστῶν τὸ τέλος τῆς δίκης μαθεῖν, εἶπεν ἀναβὰς πάλιν ἐπὶ τοῦ βήματος "ὑπὲρ μὲν ὄνου σκιᾶς ἀκούειν ὦ ἄνδρες ἐπιθυμεῖτε, ἀνθρώπȣ δὲ κινδυνεύοντος ὑπὲρ ψυχῆς ȣ̓δὲ φωνῆς ἀνέχεσθε;" οὕτω καθαψάμενος τῶν κριτῶν τὸν κατηγορούμενον περιέσωσε. τάττεται τοίνυν ἡ παροιμία ἐπὶ τῶν ὑπὲρ μηδενὸς χρησίμου φιλοτιμουμένων. cf. v. ὄνου σκιά.

ὑπεροπλίῃσι (Hom. Α 205) ταῖς ὑπερηφανίαις, καὶ ὑπεροπλία ἡ ὑπερηφανία.

ὑπεροπλίσαι ὑπερνικῆσαι.

ὑπέροπλον (Hom. Ο 185) ὑπερήφανον.

ὑπέροπτα· ⟨S OR 883⟩ "εἰ δέ τις ὑπέροπτα χερσὶν ἢ λόγῳ πορεύεται, δίκης ἀφόβητος, οὐδὲ δαιμόνων ἕδη σέβων, κακή νιν ἕλοιτο μοῖρα δυσπότμου χάριν χλιδῆς," τȣτέστιν ἕνεκα τῆς ἀνοσίȣ τρυφῆς καὶ ὑπερηφανίας ὁ τοιοῦτος ἐν κακῇ εἴη μοίρᾳ, ὃς μὴ ἀφέξεται τῶν ἀσέπτων ἢ ἕξεται τῶν ἀθίκτων, τουτέστιν ὧν οὐ χρὴ ἔχεσθαι.

ὑπερόπτης ὁ παρορῶν· "ὃ δὲ ὑπερόπτης ὢν τοῦ δικαίου καὶ ὑβριστής."

ὑπεροπτικώτερον.

ὑπέροπτον μεγάλην.

ὑπεροπᾶν ὑπερβλέπειν.

ὑπερόριον· "τὸ σῶμα τοῦ Ὑπερίδου a ἔρριψαν Ἀθηναῖοι ὑπερόριον," τȣτέστι μακρὰν ἀπὸ τῆς πόλεως. καὶ αὖθις "καὶ ἀναπείθει τοὺς Ἀθηναίȣς ὑπερόριον τὸ σῶμα τοῦ ῥήτορος Ὑπερίδου ῥῖψαι," ἀντὶ τȣ̃ ἔξω τῶν ὅρων.

ὑπερόριον τὸ παρηλλαγμένον καὶ πάν- b τῃ ἀλλότριον καὶ ὑπέρογκον· "τὸ τῶν ἀέρων ἄηθες καὶ ὑπερόριον λυπήσειν ἔμελλε τὴν στρατιάν," καὶ αὖθις "προσήκειν φήσας νέῳ ἀνδρὶ ἀποδημεῖν τε καὶ ὑπερόρια αἱρεῖσθαι." "ἡ δὲ Ῥώμη ἀπείρατος ἦν ὑπερορίων ἐκϛρατειῶν" ⟨cf. v. Ῥωμαίων πόλις⟩.

ὑπέρου περιτροπή, ἐπὶ τῶν τὰ αὐτὰ ποιούντων καὶ μηδὲν περαινόντων. καὶ αὗται δ' αἱ παροιμίαι τοῦτο δηλοῦσιν, "ὁ Διὸς Κόρινθος," καὶ "αὖθις αὖ Πυθώδ' ὁδός," καὶ "ὁ τὴν δοκὸν φέρων," καὶ "οὐ τυφλός, ἀλλ' ἐξώρυκται." Πλάτων Ἀδώνιδι

"εἶτ' οὐχ ὑπέρου μοι περιτροπὴ γενήσεται."

ὑπέροφρυς ὑπερήφανος, παρὰ Ὑπερίδῃ.

ὑπεροψίαν καταφρόνησιν· (Ioseph. B. I. 3 7 33) "εἰδὼς τῶν Ἰȣδαίων τὸ πρὸς ἀλλήλȣς πιστὸν καὶ τὴν πρὸς τὰς κολάσεις ὑπεροψίαν."

ὑπερπαίειν ὑπερβαίνειν, πλεονάζειν· (Polyb. 14 5) "διὸ τὸ γεγονὸς ἐδὲ καθ' ὑπερβολὴν εἰκάσαι δυνατὸν οὐδενὶ τῶν ὄντων ἐστίν. οὕτως ὑπερπεπαίκει πάσας τῇ δεινότητι τὰς προειρημένας πράξεις."

ὑπερπετεῖς ὑπερλίαν σωζομένȣς· (Diod. Sic. 14 23) "Κλέαρχος ὁ Λακεδαιμόνιος τοῖς στρατιώταις παρήγγειλε τὸ μὲν πρῶτον ἡσυχῇ προάγειν, εἰ δὲ ἐντὸς βέλȣς γένοιντο, θέειν, τὸ μὲν ἵνα ἀκέραιοι τοῖς σώμασιν ἀγωνίζοιντο, τὸ δὲ ἵνα ὑπερπετεῖς ὦσιν."

ὑπερπνιγεῖς· "ἵπποι ὑπερπνιγεῖς γενόμενοι, οἱ δὲ ὑπέρπονοι ἐκ τῆς ἄγαν ἱππηλασίας" (cf. v. ἐκτραχηλίζω).

ὑπερπταίη ὑπερπετασθῇ.

ὑπέρροον τὸ ἀπὸ ὕψȣς ῥέον, ὑπερῷον δὲ τὸ ἀνώγεων.

ὑπὲρ τὰ ἐσκαμμένα ὑπὲρ τὰ μέτρα. ἀπὸ δὲ τῶν πεντάθλων ἡ μεταφορά. λέγεται δὲ ἀπὸ Φαΰλλȣ τοῦ πεντάθλȣ τȣ̃ Κροτωνιάτȣ εἰρῆσθαι, ὃς ν' ποδῶν ὄντων πρότερον τῶν σκαμμάτων, πρότερος αὐτὸς ὑπερέβαλε τοῖς πηδήμασι ταῦτα, ὡς τὸ ἐπίγραμμα λέγει τῆς εἰκόνος αὐτȣ̃· (AP append. 297) "πέντ' ἐπὶ πεντήκοντα πόδας πήδησε Φάυλλος, δίσκευσεν δ' ἑκατόν, πέντ' ἀπολειπομένων." καὶ Πλάτων ἐν ᾧ ἡ ἐπιγραφὴ Κρατύλος ἢ περὶ ὀνομάτων ὀρθότητος. cf. v. αὐτόχρημα.

ὑπὲρ τὰ ἐσκαμμένα πηδᾶν, ἐπὶ τῶν καθ' ὑπερβολήν τι πραττόντων, διότι ὁ Φάυλλος ὑπὲρ τοὺς ν' πόδας πηδήσας ἐπηρώθη τὸ σκέλος.

ὑπὲρ τὰ ἐσκαμμένα πηδῶν. Φάυλλος ἐγένετο πένταθλος, ὁ Πόντιος, ὃς ἐδόκει μέγιστα δισκεῦσαι καὶ ἅλλεσθαι. ἐπεὶ οὖν ὑπὲρ τὰς ἐσκαμμένας ν' πόδας εἰς τὸ στερεὸν ἥλατο, τὸ συμβὰν εἰς παροιμίαν ἐξέβη.

ὑπὲρ τὰ Καλλικράτους. φησὶ Κλέαρχος ὅτι Καλλικράτης τις ἐγένετο ἐν Καρυστῷ πλȣσιώτατος. εἴ ποτε οὖν ἐθαύμαζόν τινα οἱ Καρύστιοι ἐπὶ πλούτῳ, ὑπερβολικῶς ἔλεγον ὑπὲρ τὰ Καλλικράτȣς. Ἀριστοτέλης δέ φησιν ἐν τῇ Ἀθηναίων πολιτείᾳ Καλλικράτην τινὰ πρῶτον τοὺς δικαστικοὺς μισθοὺς εἰς ὑπερβολὴν αὐξῆσαι, ὅθεν καὶ τὴν παροιμίαν εἰρῆσθαι.

ὑπερτέλλον ὑπερανατέλλον.

ὑπερτενές ὑψηλόν, ὑπερανέχον.

ὑπέρτερον κρεῖττον.

ὑπερτεροῦν δεσπόζον.

ὑπερτηρία (Plat. Theaet. p. 207 A) τὸ τῆς ἁμάξης πῆγμα.

ὑπερτίθεται ἀναβάλλεται.

ὑπὲρ τὸν κατάλογον, παροιμία ἐπὶ τῶν γεγηρακότων.

ὑπέρτονον· (A Nub. 1157) "βοήσομαι τὴν ὑπέρτονον βοήν," τουτέστι τὴν μεγάλην καὶ ὑπερέχουσαν.

ὑπὲρ τοῦ μηθενός ἀντὶ τοῦ ῥᾳδίως καὶ εὐχερῶς· Δαβίδ (Ps. 55 7) "ὑπὲρ τȣ̃ μηθενὸς σώσεις αὐτούς."

ὑπὲρ τῶν ὅλων ἀγωνιούμενος· "καὶ στρατιὰν ἐξάγει ὑπὲρ τῶν ὅλων φέρουσαν τὸν κίνδυνον."

ὑπὲρ τῶν ὅλων ἀναρριπτεῖν.

ὑπερφαλαγγίασίς ἐστιν ὅταν ἐξ ἑκατέρων τῶν μερῶν τῆς φάλαγγος ὑπερέχωμεν τῶν πολεμίων.

ὑπερφερές μέγα, ὑπερέχον· "οὗ τὸ ὕψος ἦν γιγαντιαῖον καὶ ἡ τόλμα ὑπερφερεστέρα."

ὑπερφίαλος. ποτὲ μὲν ἐπὶ ψόγȣ· (Hom. O 94) "ὑπερφίαλος καὶ ἀπηνής," ἀντὶ τοῦ οὐκ ἔνσπονδος. ἐν ἄλλοις δὲ ἐπὶ ἐγκωμίου· (φ 289) "ὑπερφιάλοισι μεθ' ἡμῖν δαίνυσαι," ἀντὶ τȣ̃ ἀγαθοῖς.

ὑπερφρονεῖ· "ὅτι τὰ ἀνθρώπεια τὸ θεῖον ἢ ὑπερφρονεῖ ἢ ἀτιμάζει, ἢ πρόνοιαν αὐτοῖς ἔφορον οὐκ ἐφίστησι."

ὑπερφρόνως ἀλαζονικῶς, ὑπερηφάνως· "ὃ δὲ ἀντέγραψέν οἱ τά τε ἄλλα ὑπερφρόνως, καὶ αὐτὸν μὲν βασιλέα ἐκεῖνον δὲ Καίσαρα μόνον ὀνομάζεσθαι" (cf. v. ἄχ ὅσον).

ὑπέρφρων· (Philostrat. V. S. 1 25 4) "ὑπέρφρων δὴ οὕτως ὁ Πολέμων ὁ σοφιστὴς ὡς πόλεσι μὲν ἀπὸ τοῦ προύχοντος, δυνάσταις δὲ ἀπὸ τοῦ μὴ ὑφειμένȣ, θεοῖς δὲ ἀπὸ τοῦ ἴσȣ διαλέγεσθαι." λέγεται δὲ καὶ τὰ αὐτῷ πεπραγμένα, φημὶ δὴ Πολέμωνι τῷ ὑπέρφρονι, ἐν τοῖς βίοις τῶν σοφιστῶν τρανότερον.

ὑπερφυᾶ τέχνην ἔχων. Ἀριστοφάνης

(Eq. 141) τὸν ἀλλαντοπώλην διασύρων ἐξαίρει τὴν τέχνην, ἵνα μᾶλλον ὀνειδίσῃ φανείσης αὐτῆς λίαν εὐτελοῦς· ἀλλαντοπώλης γὰρ ὁ τὰ ἔντερα πωλῶν.

ὑπερφυής μεγαλοφυής, μείζων.

ὑπερφυΐα.

ὑπέρχεται ἀντὶ τοῦ ὑπάγεται τὸν δῆμον, καὶ ὑποτρέχει καὶ κολακεύει καὶ καταπραΰνει, ὑπάγων τὴν ὀργὴν ἅπασαν τὴν πρὸς αὐτόν. Ἀριστοφάνης Ἱππεῦσιν (270) "εἶδες οἷ' ὑπέρχεται. ὡσπερεὶ γέροντας ἡμᾶς ἐκκοβαλικεύεται," ἀντὶ τῶ λῃστεύει· κόβαλοι γὰρ οἱ μετὰ ξύλω λῃσταί. τοὺς αὐτοὺς δὲ καὶ κορυνηφόρους. οἱ δὲ κόβαλον τὴν μετ' ἀπάτης παιδιάν. ὥσπερ, φησί, γέροντας δικαστὰς ἐκπανουργεῖ, οὕτω καὶ ἡμᾶς ἐπιχειρεῖ ἀπατᾶν· κόβαλα γὰρ καλοῦσι τὰ πανουργήματα.

ὑπέρχολος γενόμενος ἀντὶ τῶ ὑπεραγανακτήσας. οὕτως Ἀντιφάνης.

ὑπερωδυνία· "οἱ δὲ συνέπασχον τῇ τῶν ἀκληρούντων ὑπερωδυνίᾳ," τουτέστι τῇ συμφορᾷ, τῇ λύπῃ" (cf. vv. ἀκληρούντων et παρεκστῆναι).

ὑπερῴη ὁ οὐρανίσκος· Ὅμηρος (X 495) "χείλεα μέν τ' ἐδίην', ὑπερῴην δ' οὐκ ἐδίηνε," καὶ Σιμόκατος (2 6) "εἰς μὲν γὰρ τὴν ὑπερῴαν χελύνην Μηδικὸς ὀϊστὸς ἐς βάθος ἐσδὺς ἀνὰ τὸ κρανίον ἐρρίζωτο."

ὑπερώησαν ὑπεχώρησαν. Hom. Θ 122.

ὑπερῷον τὸ ἀνώγεων.

ὑπερώσιον τὸ ὑπὲρ τὴν μοῖραν.

ὑπέρωσις.

ὑπεσταλκότες· "ἄλλοι δὲ τούτοις ὑπεσταλκότες πῦρ προσέφερον ταῖς πύλαις," ἀντὶ τῶ ὑποδύντες, ὑπεισελθόντες.

ὑπεστειλάμην παρῃτησάμην, ἀπεκρυψάμην.

ὑπέστημεν ὑπεσχόμεθα.

ὑπεστόρεσται ὑπέστρωται, καὶ ὑπεστορέσθαι.

ὑπέσχεν ὑπέκλινεν, ἔδωκεν· "οὐδὲ τὴν ἀκοὴν ὑπέσχε τοῖς διαβάλλουσιν, οὐδὲ φόνον ἄδικον εἰργάσατο ἑκών γε εἶναι," ἀντὶ τοῦ αὐθαιρέτως (cf. v. Ἰωάννης).

ὑπέτεινεν ἐπηγγέλλετο, κατεσκεύαζεν· "ἕως μὲν οὖν ἤλπιζον τὴν στρατηγίαν τῆς ἔω παρὰ βασιλέως, καὶ τὰς ἄλλας ἐλπίδας ἃς ὑπέτεινεν οὗτος, σπουδὴν ἐδείκνυσαν."

ὑπετέμνετο ὑπεκρύπτετο· "ἀπὸ συνθήματος ἀφιεμένων τῶν βελῶν τὸ φῶς ὑπετέμνετο."

ὑπεύθυνοι οἱ μήπω λογισμοὺς παρεσχηκότες μηδὲ εὐθύνας τῆς ἀρχῆς ἧς ἐπιστεύθησαν. sch. A Eq. 259.

ὑπέχει ὑφίσταται. καὶ τὸ ἀποκρίνεσθαι ὑπέχειν παρὰ Ἀριστοτέλει (Top. 8)· "ὑπέχειν ῥᾴδιον τὰς θέσεις." Ἀριστοφάνης (Lys. 841) "καὶ πάνθ' ὑπέχειν ὧν σύνοιδεν ἡ κύλιξ." λόγον ὑπέχειν τῆς στρατηγίας.

ὑπέχοντος κρατοῦντος· Ἀριστοφάνης (Eccl. 847) "κἄπειτ' ἐχώρουν εἰς ἀγορὰν ἐπ' ἄλφιτα. ἔπειθ' ὑπέχοντος ἄρτι μου τὸν θύλακον, ἀνέκραγ' ὁ κῆρυξ μὴ δέχεσθαι μηδένα χαλκοῦν τὸ λοιπόν· ἀργύρῳ γὰρ χρώμεθα."

ὑπεψηνισμένη ἀκμαία πρὸς τόκον, ἢ ἔγκυμων, ἀπὸ τοῦ ψηνός, ὃ σημαίνει τὸν ἐν τοῖς ὀλύνθοις γινόμενον σκώληκα, ὃν οἱ γεωργοὶ ἀφάπτουσι τῶν κλάδων τῆς συκῆς, ὅπως ἂν ὁ καρπὸς αὐτῶν μὴ ἀπορρέῃ. cf. vv. ἀνερίναστος et ψῆνες.

ὑπεψιθυρίζετο ἠρέμα ὑπεκαλεῖτο· "καὶ Σκυθικῇ φωνῇ βάρβαρα ἄττα ῥήματα ὑπεψιθυρίζετο" (cf. v. φορτία).

ὑπῆγεν ἀντὶ τοῦ ὑπετίθετο· Ξενοφῶν (Anab. 2 1 18) "ὁ δὲ Κλέαρχος ταῦθ' ὑπῆγε βουλόμενος καὶ αὐτὸν τὸν βασιλέα πρεσβεύειν συμβουλεῦσαι μὴ παραδοῦναι τὰ ὅπλα."

ὑπῆκτο· "ἡ δὲ Λιβανία τὸ θρασὺ αὐτοῦ καὶ γενναῖον ἀποκόψασα αἰχμάλωτον ὑπῆκτο," ἀντὶ τοῦ ὑπηγάγετο.

ὑπηνέμια τὰ ψευδῆ καὶ ἀβέβαια· (Iu- a
lian. or. 7 p. 206 C) "γίνεται γὰρ αὐτῷ ἐντεῦθεν τὰ ὑπηνέμια καὶ τερατώδη ἀντὶ τῆς ἀληθοῦς ἐπιστήμης, οἷον εἴδωλα ἄττα καὶ σκιαί. πράττουσι γοῦν πρὸ τῆς τῶν ἀληθῶν ἐπιστήμης τὰ ψευδῆ."

ὑπηνέμια καλεῖται τὰ δίχα συνουσίας b
καὶ μίξεως. σύνηθες δὲ λέγειν αὐτοῖς ἀνεμιαῖον· Πλάτων ἐν Θεαιτήτῳ (p. 151 E) "γόνιμον ἢ ἀνεμιαῖον τυγχάνει."

ὑπηνέμια ὡς ἡμεῖς λέγουσιν· Ἀριστοφά- c
νης Δαιδάλῳ "ἐνίοτε πολλοὶ τῶν ἀλεκτρυόνων βίᾳ ὑπηνέμια τίκτουσιν ᾠὰ πολλάκις." Πλάτων δὲ ὁ φιλόσοφος ἐν Θεαιτήτῳ ἀνεμιαῖα, καὶ Μένανδρος Δακτυλίῳ "ἀνεμιαῖον ἐγένετο." τὰ δίχα σπέρματος ἄρρενος.

ὑπηνέμιοι ὑπὸ τὸν ἄνεμον.

ὑπήνη μύσταξ, τὸ γένειον, πώγων, ἢ a

τοῦ ἄνω χείλους τρίχωσις· τὸ δὲ κάτω πάππος.

b ὑπήνη παρὰ τὸ ὑποκάτω εἶναι ἢ ἰέναι. τὸ δὲ πη διὰ τοῦ η, παρὰ τὸν ἥσω μέλλοντα, ἀπὸ τοῦ ἵημι. ἢ ὡς εἰρήνη γαλήνη.

ὑπηνήτῃ ἀκμαίῳ, ἄρτι γενειῶντι, ἔτι νέῳ· (Hom. Ω 348, κ 279) "πρῶτον ὑπηνήτῃ."

ὑπήντων ταῖς γυναιξίν, ἀσπασμοὺς καὶ παιᾶνας καὶ πάνθ' ὅσα ἐκ μεγάλων κινδύνων εἰς ἀδόκητον σωτηρίαν καταστάντες ἄνθρωποι λέγουσι καὶ πράττουσιν" (Dionys. Hal. A. R. 8 55).

ὑπ' ἠοῖ ὑπὸ τὸν ὄρθρον.

a ὑπηρέσιον τὸ παρ' ἡμῖν, ᾧ χρώμεθα εἰς ἀπόπατον.

b ὑπηρέσιον ὑπαγκώνιον τῶν ἐρετῶν ἤγουν κωπηλατῶν, ἐφ' οὗ καθίζουσιν οἱ ἐρέσσοντες διὰ τὸ μὴ συντρίβεσθαι αὐτῶν τὰς πυγάς.

ὑπηρέτης δοῦλος.

ὑπηρετικοῖς τοῖς ἐρέσσουσιν· "ἔζευξε τὰς νῆας, βραχὺ διάστημα ποιῶν, ὥστε ὑπηρετικοῖς ἐκπλεῖν δύνασθαι καὶ διαπλεῖν." καὶ αὖθις "ὃ δὲ ἦν ὑπηρετικὸν σκεῦος εὐφυὲς καὶ πολλὰς ἔχον ἀφορμὰς εἰς πραγμάτων οἰκονομίαν" (cf. v. εὐφυᾶ).

ὑπῆρξαν προκατήρξαντο· "οὗτοι γὰρ πρῶτοι ὑπῆρξαν ἀδικίης" Ἡρόδοτος (4 1). καὶ Αἰλιανός "ὃ δὲ ὑπήρξατο σωφρονεῖν."

ὑπήτρια τὰ οὔθατα, οἱ μαστοί.

ὑπιγή ἡ ἀπόκλεισις, ὑπιωγή δὲ ἡ σκέψις (Hom. ε 404).

ὑπιδέσθαι ὑποθεωρῆσαι.

ὑπίσχεται ὑπισχνεῖται, καὶ ὑποσχόμενος συντασσόμενος.

ὑπνηλός ῥάθυμος.

ὑπνομαχῶ· Ἀριστοφάνης (Synes. ep. 129) "ἐγὼ δ' ὑπὸ μεσοπυργίῳ τεταγμένος ὑπνομαχῶ. ἐν δορὶ μέν μοι μᾶζα μεμαγμένη, ἐν δορὶ δ' οἶνος Ἰσμαρικός, πίνω δ' ἐν δορὶ κεκλιμένος. οὐκ οἶδα δ' εἰ μᾶλλον Ἀρχιλόχῳ προσῆκον ἦν ταῦτα εἰπεῖν." cf. v. Μάρκελλος.

a ὕπνος. τὸν ὕπνον γίνεσθαι ἐκλυομένου τοῦ αἰσθητικοῦ τόνου περὶ τὸ ἡγεμονικόν. ἡ στέρησις ἐγρηγόρσεως κατὰ φύσιν ἐστὶν ὁ ὕπνος. παρὰ φύσιν δέ ἐστι στέρησις ὡς ἐκκοπέντων τῶν ὀφθαλμῶν (Diog. L. 7 158).

b ὕπνος ἐπὶ Θεοῦ ἡ μακροθυμία· Δαβίδ (Ps. 43 23) "ἐξεγέρθητι· ἵνα τί ὑπνοῖς, κύριε;" καὶ (77 65) "ἐξηγέρθη ὡς ὁ ὑπνῶν κύριος." (A Nub. 701) "ὕπνος δ' ἀπέστω γλυκύθυμος ὀμμάτων." ἡ παροιμία ἐπὶ τῶν βουλομένων φιλοσοφεῖν.

ὕπνῳ τῇ ἀγρυπνίᾳ Ὅμηρος (μ 281).

ὑπό ὀλίγον.

ὑπόβαθμος ὑπόβαθρος.

ὑποβάθραν ὑπόβασιν, θεμέλιον· (Diog. L. 1 94) "χρόνῳ δὴ ὕστερον ὑποβάθρῳ λακτίσας τὴν γυναῖκα ἀπέκτεινε, πεισθεὶς διαβολαῖς παλλακίδος."

ὑποβαλλόμενοι πειθόμενοι, ἢ ὑποβλήτως λέγοντες, ἢ ἰδιοποιησάμενοι· Σοφοκλῆς (Ai. 188) "εἰ δ' ὑποβαλλόμενοι κλέπτουσι μύθους οἱ μεγάλοι βασιλεῖς." τουτέστιν, εἰ δὲ οὐκ ἔστιν ἀληθῆ ταῦτα, ἀλλὰ πεπλασμένα ὑπὸ τοῦ βασιλέως ἢ ἄλλου τινός.

ὑποβασμόν ὑποβάθραν.

ὑποβήσονται ταπεινωθῶσιν, ὑποπέσωσιν· "ὅτι τοῦ τε · · · συνοίσειν (cf. v. αὔχημα).

ὑποβιβάζοντες ἐλαττοῦντες.

ὑποβιβάζουσιν ὑποκαταβαίνουσιν.

ὑποβλεπόμενος (1 Regg. 18 19) ὑπονοῶν, ἐχθραίνων, ἐπιτηρῶν. "καὶ οὐκ ἦν ῥᾴδιον μὴ γελᾶν καὶ ὑποβλέπεσθαι τὸ γινόμενον."

ὑποβλήδην (Hom. Α 292) ὑποβαλὼν λόγον ὑποκρουστικῶς ἔτι λέγοντος.

ὑπόβλητον οὐκ ἀληθές ἀλλὰ πεπλασμένον, ἀπὸ τῶν ὑποβαλλομένων εἰς τὰ γένη τοὺς παῖδας· Σοφοκλῆς (OC 794) "τὸ σὸν δ' ἀφῖκται δεῦρ' ὑπόβλητον στόμα." καὶ αὖθις (Ai. 481) "οὐδεὶς ἐρεῖ ποθ' ὡς ὑπόβλητον λόγον Αἶας ἔλεξας, ἀλλὰ τῆς σαυτοῦ φρενός," ἀντὶ τοῦ γνήσια τῆς διανοίας σου τὰ εἰρημένα, οὐχ ὑπόβλητα· οἰκεῖα οὖν σαυτῷ εἶπας. ὅμως γε μὴν παῦσαι, τὸ πᾶν ἀναθεὶς ἡμῖν.

ὑπόβλητος ὁ νόθος· "ὑποβλήτους ἂν εἶπεν αὐτοὺς καὶ νόθους ἄντικρυς, ἀνέπλησαν δὲ τὴν ἑαυτῶν πατρίδα πολλῶν κακῶν."

ὑποβολή ὁμοιότης, προσθήκη· (Diog. L. 1 57) "Σόλων δὲ τὰ Ὁμήρου ἐξ ὑποβολῆς ἔγραψε ῥαψῳδεῖσθαι, οἷον, ὅπου ὁ πρῶτος ἔληξεν, ἐκεῖθεν ἄρχεσθαι τὸν ἐχόμενον.

ὑποβολιμαῖοι ὑποβαλλόμενοι καὶ εἰσποίητοι, ἐπὶ τῶν χαμαιριφῶν παιδίων, ἅπερ ἑαυταῖς ὑποβάλλουσιν αἱ γυναῖκες.

ὑπόβολον τὸ δακτυλίδιον.

ὑποβρύχιοι ὑπὸ τὸ ὕδωρ ποντισθέντες.

ὑπόγαιοι ὑπὸ τὴν γῆν.

ὑπόγειος ὁ ὑποτεταγμένος.

ὑπογενειάζων ⟨Aeschin. 1 61⟩ λιτανεύων, ἀπὸ τοῦ γενείου ἁπτόμενος.

ὑπόγεων οὐδετέρως. ὑπόγειον δὲ ὑπὸ τὴν γῆν.

ὑπὸ γῆν οἰκοῦντες. λέγοι ἂν τοὺς ὑπὸ Σκύλακος ἐν τῷ περίπλῳ λεγομένους Τρωγλοδύτας, καὶ τοὺς ὑπὸ Ἡσιόδου ἐν γ´ καταλόγου Καταδαίους ὀνομαζομένους. Harp.

ὑπογράφεται δείκνυται. ⟨Diodor. 19 46⟩ "οἷς πᾶσιν ἡ σύγκλητος ἀγαθὰς ἐλπίδας ὑπογράφουσα ἔφησε δέκα πρεσβευτὰς ἀποστέλλειν ἐς τὴν Ἀσίαν."

ὑπογραφόμενος· "ἐγχρίων δὲ τὸ πρόσωπον - - - χρώμενος." περὶ Σαρδαναπάλλου ὁ λόγος ⟨cf. v. Σαρδανάπαλλος⟩.

ὑπόγυον ἐγγύτερον, πρόσφατον, νεωστὶ γινόμενον, τὸ πρὸ ὀλίγου καὶ μετ᾽ ὀλίγον, τὸ ἐχθές· "προέθηκεν ὑπόγυον ῥιψάσπιδος γενομένου, τῷ καιρῷ χρώμενος εἰς αἰσχύνην τοῦ δεδρακότος." "μείζονα γὰρ τὰ ὑπόγυα πταίσματα τὴν συμφορὰν ἔχει." καὶ αὖθις ⟨Appian. Pun. 125⟩ "ὀλισθηρὸς δ᾽ ἦν ὁ δρόμος ἐξ αἵματος πεπηγότος ὑπογύου τε καὶ πολλοῦ, ὡς τῶν φευγόντων ἀπελείποντο καὶ ἄκοντες."

ὑπὸ δακρύοις σὺν δακρύοις· "καλεῖ τε Ἀπόλλωνα ὑπὸ πολλοῖς τοῖς δακρύοις."

ὑπὸ δᾳσὶν ἐνακμαζούσαις τῷ πυρὶ ἐκέλευσεν ἐκκομισθῆναι αὐτόν" ⟨cf. v. δᾴς⟩.

ὑποδεής ὑπόφοβος.

ὑποδεῖσθε περιδεσμεῖτε· ⟨A Eccl. 269⟩ "ὑποδεῖσθε τὰς λακωνικάς." ἔστι δὲ εἶδος ὑποδήματος.

ὑποδενδρυάσαι ὑποδῦναί που καὶ πτῆξαι ὑπὸ σκέπην.

ὑποδεξίη ⟨Hom. I 73⟩ ὑποδοχή, ἢ τὰ πρὸς ὑποδοχὴν ἐπιτήδεια.

ὑποδέξιος ὑποδοχεύς.

ὑποδέραια περιτραχήλια.

ὑποδερίδα ὁρμίσκον, πλόκιον.

ὑπόδημα, τουτέστι τὸ σαρκικὸν φρόνημα τοῦ ἰδίου θελήματος. ὁ θεός φησι πρὸς Μωυσῆν ⟨Exod. 3 5⟩ "λῦσόν σου τὸ ὑπόδημα τῶν ποδῶν· ὁ γὰρ τόπος ἐν ᾧ ἕστηκας, γῆ ἁγία ἐστίν."

ὑποδήματα. οὕτω προσαγορεύεται ἡ ἐνανθρώπησις τοῦ κυρίου. καὶ τούτου μάρτυς αὐτὸς ὁ κύριος, διὰ τοῦ προφήτου λέγων ⟨Ps. 59 9⟩ "ἐπὶ τὴν Ἰδουμαίαν ἐκτενῶ τὸ ὑπόδημά μου." διὰ τοῦτο καὶ ὑποπόδιον ἤκουσεν ἡ τοῦ κυρίου ἐνανθρώπησις ὡς ἐπὶ τῆς γῆς ὀφθεῖσα καὶ τοῖς ἀνθρώποις συναναστραφεῖσα καὶ τὸ τέρμα τῆς γῆς καταλαβοῦσα. καὶ ὁ προφήτης ⟨Ps. 98 5⟩ "προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ."

ὑπόδικοι κατάκριτοι· "στρατιῶται ὑπόδικοι ἐπὶ κακουργίᾳ, δρασμὸν βουλεύοντες παρὰ Λεκίβαλον, θανάτῳ κολάζονται."

ὑποδμώς ⟨Hom. δ 386⟩ δοῦλος.

ὑποδουμένη τὰ ὑποδήματα βάλλουσα. sch. A Eccl. 46.

ὑποδοχῆς πλήθους· "ὑποδοχῆς Διονυσίων" ἀντὶ τοῦ πλήθους καὶ πολλῶν Διονυσίων. Ἀριστοφάνης ⟨Pac. 529⟩.

ὑπόδρα δεινῶς.

ὑποδράξ· "ἡ δὲ πελιδνωθεῖσα καὶ ὄμμασι λοξὸν ὑποδρὰξ ὀσσομένη," τουτέστιν ὠχριάσασα καὶ ὑποβλεψαμένη διὰ τὴν ὀργήν.

ὑποδρόμους στόμια.

ὑπόδυθι ἀντὶ τοῦ καλύπτου. καὶ ὑπέρεχε ἄνωθεν· Ἀριστοφάνης Ὄρνισι ⟨1495⟩ "λαβὼν τουτὶ τὸ σκιάδειον ὑπέρεχε ἄνωθεν."

ὑποδύς ὑπεισελθών.

ὑποδύτην τὸ ἐσώτερον ἱμάτιον, ἐπενδύτην δὲ τὸ ἐπάνω.

ὑποζύγια οἱ ὑπὸ ζυγὸν βόες· "οὐ γὰρ ἐξήρκει - - - δυσπόρων" ⟨cf. v. ἐξήρκει⟩. λέγονται ὑποζύγια καὶ τἆλλα τῶν ἀχθοφόρων ζῴων.

ὑποζυγιώδης ἄνθρωπος ὁ μὴ ἐκ τῆς ἑαυτοῦ προαιρέσεως καὶ προθυμίας τι πράττων, ἀλλ᾽ ἐκ τῆς ἑτέρων κελεύσεως ὥσπερ καὶ τὰ ὑποζύγια. εἴποις δ᾽ ἂν καὶ ὑποζυγιῶδες πρᾶγμα. Ἀριστοφάνης.

ὑποζώματα ξύλα τῆς νεώς. ἀντὶ τοῦ εἰπεῖν ὑποζώματα, ὁ σκυτεὺς πρὸς μάγειρον παίζων εἶπε ζωμεύματα ὡς ἀρτύσεων ἔμπειρον καὶ ζωμευμάτων. ἀπείρητο δὲ ἀπὸ Ἀθηνῶν ἐξάγειν ξύλα καὶ πίσσαν. εἶχον δὲ καὶ Λακεδαιμόνιοι τριήρεις, ἐπειδὴ ἦρχον καὶ νήσων τινῶν. Ἀριστοφάνης ⟨Eq. 279⟩ "τουτονὶ τὸν ἄνδρ᾽ ἐγὼ δείκνυμι καὶ φήμ᾽ ἐξάγειν ταῖσι Πελοποννησίων τριήρεσι ζωμεύματα."

ὑποθεῖν οὐκ ἐῶ ⟨A Eq. 1158⟩, ἀντὶ τοῦ ὑποτρέχειν, ὑποσκελίζειν, ἐμποδὼν ἵστασθαι.

- - - "καὶ ταῦτα ὑπὲρ τῆς ἐνθέου φιλότητος ἐμαρτύρησεν ὁ Ἀπόλλων."

ὑποθερμανθεῖσα· "ἡ δὲ βασίλισσα ὑποθερμανθεῖσα τοῖς θυμοῖς καὶ τὴν γνώμην φλεγμήνασα ᾐτιᾶτο αὐτόν" ⟨cf. v. Αἰ-

όντιος).

**ὑπόθεσις** περιοχή, αἰτία. λέγονται δὲ καὶ αἱ ἀρχαὶ ὑποθέσεις, ὅτι μὴ δι' ἀποδείξεως τίθενται. cf. v. θέσις.

**ὑποθέτης** ἀρχηγός, σύμβυλος· "ὐκ ἠδύνατο γνωσθῆναι τίς ὁ τῦ δράματος ὑποθέτης."

**ὑποθήγων** ἐρεθίζων, προτρεπόμενος, ἐπαλείφων· "ὑποθήγων ἐς τὰ καλὰ ἔργα αὐτούς."

**ὑποθήκαις** παραινέσεσι.

**ὑποθημοσύνη** διδασκαλία.

**ὑποθήσομαι** διδάξω, καὶ **ὑποθέμενον** ἀντὶ τῦ διδάξαντα. "δὺς φασὶν ἐπικρατῆσαι, ὑποθέμενον τῷ βασιλεῖ, λ' πάσας ἡμέρας φυλαχθῆναι αὐτόν."

**ὑποικουροῦν** λεληθός τι μῖσος. ὑποικυρῦν ἀντὶ τῦ τρεφόμενον καὶ ἐνδομυχῦν. "ὅμως, εἰ καὶ μηδὲν ὑποικυρῦν ἦν καὶ ὑπολανθάνον, ἐξ ὧν προεῖπεν ὁ Τύλλος, ἡσυχῇ πως ὑπεταράσσοντο."

**ὑποιστόν** φορητόν.

**ὑποίσω** ὑπενέγκω, καὶ **ὑποίσων** ὑπομενῶν.

**ὑποκαθέζεσθαι** τὸ ἐγκρύπτεσθαι· "ἀγγειλάντων τῶν διοπτήρων ἐνέδραν ὑποκαθέζεσθαι ἐπὶ τοῖς λασίοις." καὶ αὖθις "ἐν κοίλοις ὑποκαθίσαι χωρίοις."

**ὑποκαθεῖναι** τὰς ὀφρῦς οἷον παύσασθαι χαλεπαίνοντα καὶ πρᾳότερον γενέσθαι· τὸ γὰρ ἀνατείνειν τὰς ὀφρῦς ὀργῆς ἐστι σημεῖον.

**ὑποκαθέσθαι** συγχωρῆσαι, ἀφεῖναι· (Polyb. 24 8) "ὁ δὲ βυληθεὶς μηδὲν ἀλλότριον ὑποκαθέσθαι, μηδὲ δυσμενὲς μηδὲν ἀπολείπειν τῇ βασιλείᾳ."

**ὑποκαθημένης** ἐγκρυπτομένης, ἐναποκειμένης· (Polyb. 4 29) "διόπερ ὑποκαθημένης ἐκ τούτων αὐτῶν τῆς ὀργῆς, βραχέα προσαναμνήσαντος τῦ Φιλίππυ ταχέως ὑπήκυσε." καὶ **ὑποκαθήμενοι** ἀντὶ τῦ ἐνεδρεύοντες· "οἱ δὲ ἄρχοντες ὑποκαθήμενοι τὺς εἰσελθόντας πληγαῖς κατέξαινον."

**ὑποκατάβασιν** παραχώρησιν.

**ὑποκατακλίνεται** ὑποκάτω κάθηται· (Ioseph. A. I. 12 4 9) "κληθεὶς δὲ εἰς ἑστίασιν ὑποκατακλίνεται πάντων, καταφρονηθεὶς ὡς παῖς ἔτι τὴν ἡλικίαν."

**ὑποκείσεται** ὑποβληθήσεται.

**ὑποκεκορισμένῃ** ὑποκεκριμένῃ· "ὁ δὲ ὑποκεκορισμένῃ καὶ ἀπατηλῇ ἐχρήσατο πρεσβείᾳ."

**ὑποκινήσαντα** κινηθέντα, σαλευθέντα, ἐπὶ τῶν τυπτομένων· Ἀριςοφάνης (Ran. 657) "σκόπει νυν, ἤν μ' ὑποκινήσαντ' ἴδῃς."

**ὑποκληζομένην** (S Ai. 225) πεφημισμένην.

**ὑποκνισθέντες** λυπηθέντες, παροξυνθέντες· κνίζω γὰρ τὸ ἐξεπιπολῆς ξύω. "ἵνα μάτην ὑποκνισθέντες πόλεμον ἐγείρωσιν."

**ὑποκορίζεται** κολακεύει, ὑποκρίνεται. (Damasc. Phot. p. 336 a) "προχειρότερος ἦν εἰς ἐπιτίμησιν· διὸ καὶ θαμὰ πολλοῖς προσέκρυεν, ὐκ ἀνεχόμενος αὐτῶν τὴν κακίαν ὑποκορίζεσθαι."

**ὑποκοριζόμενοι** διασύροντες. Ξενοφῶν φησὶν (Mem. 2 1 26) "οἱ δὲ μισοῦντές με ὑποκοριζόμενοι ὀνομάζουσι κακίαν." ὁ δὲ Δημοσθένης ἐχρήσατο τῇ λέξει ἐπὶ τῦ εὐφημῦντες καὶ τὸ αἰσχρὸν εὐφήμως ὀνομάζοντες· λέγει γὰρ ἐν τῷ παραπρεσβείας (259) "αὐθαίρετον αὐτοῖς ἐπάγονται δυλείαν, Φιλίππυ ξενίαν καὶ ἑταιρείαν καὶ τὰ τοιαῦτα ὑποκοριζόμενοι." "πυνθάνεσθαι εἰς τὸ πλῆθος ἀποβλέποντα, ποδαποὶ δοκοῖεν αὐτῷ εἶναι οἱ παῖδες· ὕτω γὰρ ὑποκοριζόμενος ἐκάλει τὺς στρατευσαμένυς."

**ὑποκοριστικόν** ἔλαττον.

**ὑποκυρίζω** κολακεύω.

**ὑπὸ κρασίν** (Hom. K 152) ὑπὸ ταῖς κεφαλαῖς.

**ὑποκρεκόντων** κρυόντων, ἐγγιζόντων.

**ὑπόκρηνον** ὑπὸ τὴν κεφαλήν· "θῆκε δὲ λᾶαν σκληρὸν ὑπόκρηνον."

**ὑπόκριναι** ἀποκρίθητι.

**ὑποκρίνεσθαι** τὸ ἀποκρίνεσθαι οἱ παλαιοί. καὶ ὁ **ὑποκριτὴς** ἐντεῦθεν ὁ ἀποκρινόμενος τῷ χορῷ. Θυκυδίδης ζ' (44) "εἰ δ' ὐδὲν ὑποκρίνοιντο, διεφθείροντο." καὶ οἱ Ἴωνες ὕτως· Ἡρόδοτος "οἱ μὲν ταῦτα ὑποκρινάμενοι Ἀθηναίων ἀπηλλάττοντο." Πολύβιος (8 29) "τινὲς δὲ τῶν νεανίσκων ἀπήντων τοῖς περὶ Γάιον, προσπαίζοντες ἀλλήλοις ὡς ἂν ὑποκρινόμενοι τὺς ἐκ συνυσίας ἐπανάγοντας, ἔτι δὲ μᾶλλον ἠλλοιωμένοι ὑπὸ τῆς μέθης."

**ὑποκρίνοντι** ἀποκρίνοντι.

**ὑποκρύειν** ἀντιφθέγγεσθαι, ἀντιλέγειν ἁπλῶς καὶ ὡς ἔτυχε. τὸ δὲ ὑποκρύειν ἐπὶ τῶν θορυβύντων λέγεται, ὅπερ ἡμεῖς φαμὲν

ἐκκρούειν καὶ κωλύειν. sch. A Ach. 38.

ὑποκρούωσιν ὑποβάλλουσί σε, λαμβάνονταί σου· Ἀριστοφάνης (Eccl. 257) "τί δ', ἢν ὑποκρούωσί σε;" ἡ δέ φησι "προσκινήσομαι, ἅτ' οὐκ ἄπειρος οὖσα πολλῶν κρουμάτων."

ὑποκυδεῖς γάρ εἰσιν οἱ τόποι" Δείναρχος ἐν τῷ κατὰ Στεφάνου. ὑποκυδής ἐστιν ὁ δίυγρος τόπος. ἐν ἐνίοις μέντοι τῶν ἀντιγράφων γέγραπται ὑπόκοιλοι. Harp.

ὑπόκυκλα (Hom. Σ 375) κύκλους, τροχούς.

ὑποκυσαμένη (Hom. Ζ 26) ἐγκυμονήσασα.

ὑπόκωφος ὁ ἀκούων καὶ μὴ προσποιούμενος. sch. A Eq. 42.

ὑπολαβών ὑπονοήσας, ἢ ἀποκριθείς, ἢ ἀντειπών, ἀντικρούσας. "τοὺς δὲ ἀντιστῆναι οἱ τολμήσαντας ὑπολαμβάνων ὡς ἑκάστους διέφθειρε." καὶ Μάλχος (X Anab. 1 1 7) "ὁ δὲ Κῦρος ὑπολαβὼν τοὺς φεύγοντας, συλλέξας στράτευμα ἐπολιόρκει τὴν Μίλητον," ἀντὶ τοῦ ὑπονοήσας.

ὑπολαμβάνοντας ἀνέχοντας, ἀναβαστάζοντας· "εἴ πῃ ἐς βαθύτερόν τι τοῦ ποταμοῦ ἐμπίπτοιεν, ἀνακουφίζειν ὑπολαμβάνοντας."

ὑπόληψις νόησις, ἀντίπραξις· "τῶν δὲ ἀρχόντων κατεγίνωσκε ῥᾳθυμίαν ὡς οὐ προνοούντων τῆς αὐτοῦ ὑπολήψεως." Ἀριστοτέλης λέγει ἐν τοῖς Τόποις "εἰ ὑπόληψίς ἐστι ψευδὴς καὶ ἀληθής, εἴη ἂν καὶ δόξα· εἶδος γὰρ ὑπολήψεως ἡ δόξα."

ὑπολίσποις ἐκτετριμμένοις· (A Eq. 1365) "ὑπολίσποις πυγιδίοισι." τοιαῦται δὲ αἱ πυγαὶ τῶν ναυτῶν διὰ τὴν συνεχῆ ἕδραν καὶ εἰρεσίαν.

ὑπόλογον. Λυσίας φησὶν "οὐχ ὑπόλογον ὄντα" ἀντὶ τοῦ οὐκ ἐν λόγῳ. καὶ Δείναρχος "οὐδεὶς ὑπόλογος βουλῇ γέγονεν" ἀντὶ τοῦ οὐδεμία συγγνώμη, οὐδεμία παραίτησις. Harp.

ὑπὸ μάλης ὑπὸ μασχάλης. κεῖται δὲ τὸ ὄνομα παρὰ τοῖς ῥήτορσιν· ἀεὶ δ' οὕτως αὐτὸ παραλαμβάνουσι μετὰ τῆς προθέσεως, ὡς Δημοσθένης ἐν τῷ πρὸς Ἄφοβον (12) "ἀλλὰ μὴν οὐχ εἷς οὐδὲ δύο ταῦτ' ἴσασιν, οὐδ' ὑπὸ μάλης ἡ πρόκλησις γέγονεν, ἀλλ' ἐν τῇ ἀγορᾷ μέσῃ πολλῶν παρόντων." καὶ Λυσίας ἐν τῷ πρὸς Κλεινίαν "ἐπειδὴ πάντες κατέδαρθον, ἐσκευασμένος τῶν χαλκωμάτων ὅσα οἷόστ' ἦν πλεῖστα, ὑπὸ μάλης λαβὼν ἐξήγαγε ξίφος ἔχων." καὶ τὸ μὲν ἑνικὸν οὕτω μετὰ τῆς προθέσεως, τὸ δὲ πληθυντικὸν μασχάλας καὶ ἄλλοι πλεῖστοι καὶ Λυσίας ἐν ἐπιστολῇ· "καὶ τὴν μὲν κόμην ψιλήν, τὰς δὲ μασχάλας δασείας."

ὑπομεμαγμένη ἀναπεφυραμένη· "ἡ τοῦ τόπου θέσις ὑπομεμαγμένη ταῖς πέτραις, ἀόρατον αὐτοῖς ἐποίει τὴν ὑπερκειμένην κορυφήν."

ὑπομνηματίζω.

ὑπόνοια. Φιλόλαός φησι (AP 7 126) "τὴν ὑπόνοιαν πᾶσι μάλιστα λέγω θεραπεύειν· εἰ γὰρ καὶ μὴ δρᾷς ἀλλὰ δοκεῖς, ἀτυχεῖς. οὕτω καὶ Φιλόλαον ἀνεῖλε Κρότων ποτὲ πάτρη, ὥς μιν ἔδοξε θέλειν δῶμα τύραννον ἔχειν."

ὑπονομεύοντες ἀντὶ τοῦ ὑπονόμους ὀρύττοντες. Δείναρχος ἐν τῷ κατὰ Καλλίστου. Harp.

ὑπονομηδόν· Θουκυδίδης (6 100) "τοὺς ὀχετοὺς οἳ ἐς τὴν πόλιν ὑπονομηδὸν ποτοῦ ὕδατος ἠγμένοι ἦσαν, κατέστρεψαν."

ὑπόνομος ὀχετός, διῶρυξ.

ὑπονοστῆσαι ἐπανελθεῖν, ὑποκαταβῆναι.

ὑπὸ οἷ ὑφ' ἑαυτῷ· Ἀρριανός "τὸ δὲ ἕβδομον τέλος ὑπὸ οἷ ἔχων καὶ ἄλλους πολλούς."

ὑπὸ παντὶ λίθῳ σκορπίος. ἐλλείπει ὕπεστι. λέγεται ἐπὶ τῶν κακοήθων καὶ ἐπὶ ἐριστικῶν.

ὑποπάρκον.

ὑποπέμψαιεν μετὰ δόλου ἐκπέμψαιεν· Ξενοφῶν (Anab. 2 4 22) "ἐγνώσθη ὅτι οἱ βάρβαροι τὸν ἄνθρωπον ὑποπέμψαιεν, ὀκνοῦντες μὴ οἱ Ἕλληνες διαβάντες τὴν γέφυραν μένοιεν."

ὑποπεπτηχότες ὑποκρυπτόμενοι· (Ios. B. I. 5 7 4) "μέχρι μὲν τινος ὑποπεπτηχότες τοῖς θωρακίοις ἠρέμουν."

ὑποπεπτηῶτα (Hom. Β 312) ὑποπτώντα.

ὑπὸ πῆχυν κρατεῖς· (Synes. ep. 94) "ἡ δὲ Νέμεσις σαφῶς ἐστί, περὶ ἧς πρὸς λύραν ᾄδομεν 'λήθουσα δὲ πὰρ πόδα βαίνεις, γαυρούμενον αὐχένα κλίνεις, ὑπὸ πῆχυν ἀεὶ βιοτὰν κρατεῖς."

ὑποπιέζω ἐκθλίβω, ὑπωπιάζω δέ.

ὑποπίνειν ἀντὶ τοῦ μεθύσκεσθαι. οὕτω Νικοφῶν.

ὑπόπλεως μεστός.

ὑποπόδιον τȣ̃ θεȣ̃ πάλαι μὲν ὁ θεῖος ἐνενόμιστο νεώς, νῦν δὲ αἱ κατὰ πᾶσαν γῆν καὶ θάλατταν ἐκκλησίαι, ἐν αἷς τῷ θεῷ τὴν προσκύνησιν ἀπονέμȣσι. Theodoret. in Ps. 98 5.

ὑποποιεῖσθαι ὑποτάσσειν.

ὑπόπτερος ταχεῖα.

ὕποπτος. καὶ ὑπόπτης· "ὃ δὲ ἐπιπλάστῳ μωρίᾳ διέδρα τȣ̃ τυράννȣ τὸν φονικόν τε καὶ ὑπόπτην ἐκεῖνον τρόπον." καὶ αὖθις "διὸ καὶ ὡς ἐπὶ χρήμασι τȣ̃το ποιῶν ὕποπτος ἐγένετο." καὶ αὖθις "τοῖς μὲν ἡ πόλις ἐδόκει φιλία, Ῥωμαίοις δὲ ὕποπτος," ἀντὶ τȣ̃ ἐχθρά.

ὑποπυθμίδιον τὴν εἰς τὸν πυθμένα καταλειφθεῖσαν· ⟨AP 6 300⟩ "κεὐοίνȣ ςαφυλῆς ἀποσπάδα πεντάρραγον."

ὑπόρειον τὸ ὑποκάτω τȣ̃ ὄρȣς.

ὑπόρειος ἡ ἐξοχὴ τȣ̃ ὄρȣς. καὶ ὑπόρειον τὸ ὑπὸ τȣ̃ ὄρȣς, ὑπόριον δὲ τὸ μικρὸν ἀκρωτήριον. ὑπώρεια δὲ καὶ ἀκρώρεια διὰ τȣ̃ ω μεγάλȣ.

ὑπόρρηνον ⟨Hom. *K* 216⟩ ὕπαρνον.

ὑποσκάλευε ἀναφύσα, ζωπύρει· Ἀριστοφάνης ⟨Ach. 1013⟩ "τὸ πῦρ ὑποσκάλευε."

ὑποσκέλισον τῆς ὁρμῆς κώλυσον· Δαβίδ ⟨Ps. 16 14⟩ "ἀνάστηθι, κύριε, πρόφθασον αὐτȣ̀ς καὶ ὑποσκέλισον αὐτούς."

ὑπὸ σκότῳ· "ὑπὸ σκότῳ δὲ γεγονώς" σκότιος, ὅπερ ἐστὶ λαθραῖος. παρθένιος δὲ ὁ ἐκ παρθένȣ γεγονὼς δοκȣ̃σης.

ὑποσμύχȣσα ἐνδιερεθίζȣσα, ὑποκαίȣσα, θλίβȣσα, καταπονȣ̃σα.

ὑποσπαιρȣ́σης· "καὶ τȣ̀ς ὀφθαλμȣ̀ς αὐτῆς μικρὸν ὑποσπαιρούσης ἔτι ἐκκόπτουσιν."

ὑποσπανίζων ἐνδεῶς ἔχων· ⟨Procop. Arc. 19⟩ "χρημάτων τε ὑποσπανίζων τȣ̀ς ὑπηκόȣς ἐληΐζετο."

ὑπόσπονδος ὑπὸ φιλίαν ὑποτεταγμένος.

ὑποστάθμη καὶ ὑποσταθμίς τρυγίας.

a ὑποστάς καταδεξάμενος, ἀναδεξάμενος· "ὃ δὲ ὑποστὰς τὴν μήνυσιν, πρὸς τὴν ἐκείνȣ παρασκευάζεται ἐπιβȣλήν." σημαίνει δὲ καὶ τὸ ὑπομείνας· "πορευομένων δὲ αὐτῶν καὶ γενομένων κατά τινα στενωπὸν προῄει μὲν ὁ Οὐλίθ, ὑποστὰς δὲ ὁ Ἀναγάστης, τῷ δῆθεν ῥᾳδίως ἑκάτερον αὐτῶν διεξελθεῖν, τὸν ἀπὸ τῆς κεφαλῆς πῖλον ἀνέλαβε." καὶ αὖθις "οἱ δὲ ὑποστάντες τὸ ἐπίταγμα ἐμήνυον, ἀναζεύξαντες καθελκύσθαι αὐτῷ ἐς θάλατταν ναῦς," ἀντὶ τȣ̃ ἀναδεξάμενοι. καὶ αὖθις "οἱ δὲ ὑποστάντες ἀνῃρέθησαν."

ὑποστάς ὑπομείνας, θαρσήσας· Ξενοφῶν ⟨Anab. 4 1 26⟩ "ὅστις ὑποστὰς ἐθελοντὴς πορεύεσθαι. ὑφίςανται δὲ τῶν μὲν ὁπλιτῶν Ἀριστώνυμος." b

ὑποστάς ὑπομείνας· "ὑποστὰς εἰς ὄψιν c
ἐλθεῖν," ἐναντιωθῆναι. "τοῖς ὑποστᾶσι πολεμήσας τȣ́τȣς ἐνίκησε."

ὑπόστασις κυρίως τὸ καθ' ἑαυτὸ ἰδιοσυστάτως ὑφιστάμενον. ἔστιν ȣ̃ν πρᾶγμα ὑφεστὼς τε καὶ ȣ̓σιῶδες, ἐν ᾧ τὸ τῶν συμβεβηκότων ἄθροισμα ὡς ἐν ἑνὶ ὑποκειμένῳ πράγματι καὶ ἐνεργείᾳ ὑφέστηκεν ⟨Theorian. Legat. Armen. p. 16⟩. ἐτυμολογεῖται δὲ ὑπόςασις παρὰ τὸ ὑφεστάναι καὶ ὑπάρχειν. παρὰ δὲ Αἰλιανῷ ὑπόστασιν τὴν ἀντίστασιν· φησὶ γὰρ "ἀπέστη τὸ ἔθνος τὸ Σύρων, καὶ Φοινίκων τȣ̀ς γείτονας προσέλαβεν εἰς τὴν αὐτὴν ὁρμήν τε καὶ ὑπόστασιν." καὶ Διόδωρος "ἐπαγγελλόμενοι καὶ αὐτοὶ πρὸς τὴν ὑπόστασιν ταύτην συμβαλεῖσθαι."

ὑποστατικῶς ὑπομονητικῶς, καρτερικῶς· "ὃ δὲ ὑποστατικῶς κεχρημένος τοῖς ἐπικειμένοις κινδύνοις δόξαν ἀνδρείας ἀπηνέγκατο."

ὑπόστεγος ὑπὸ τὸν οἶκον· Σοφοκλῆς ⟨Phil. 34⟩ "κȣ̓δὲν ἔσθ' ὑπόστεγον; αὐτόξυλόν γ' ἔκπωμα."

ὑποστειλάμενος ὑποκρυψάμενος, φοβηθείς.

ὑποστέλλεται ἀναδύεται, ὑποκρίνεται, φεύγει, δολιεύεται.

ὑπόστημα πλῆθος· "τῷ δὲ ὑποστήματι τῶν ἀνδρῶν ἀντεῖχον ἐρρωμένως οἱ Ῥωμαῖοι."

ὑποστησάμενος ἀντὶ τȣ̃ ἐναρξάμενος· ⟨Io. Antioch. p. 821⟩ "ἐκ πρώτης γὰρ δὴ τῆς ἡλικίας εὐσταθῆ τε καὶ ἡσύχιον βίον ὑποστησάμενος, ȣ̃τε κατὰ δέος ȣ̃τε καθ' ἡδονὴν τραπεὶς τὸ πρόσωπον ὤφθη πώποτε."

ὑποςήσας ἀντὶ τȣ̃ ὑποβαλόμενος Ὑπερίδης. Harp.

ὑποστήτω ἀποχωρησάτω.

ὑποστολῆς φυγῆς.

ὑποσυγχύτως συγκεχυμένως.

ὑποσχεῖν ὑπολαβεῖν, ἀπαιτηθῆναι, ὑποθεῖναι· "τῷ δήμῳ λόγον ὑποσχεῖν ὑπὲρ τῶν ἄχρι τοῦδε πεπραγμένων." καὶ αὖθις "ὑποσχόντα λόγον τῆς ἀρχῆς, καὶ τὰς εὐεργεσίας ἀναδειξάμενον."

ὑποσχέσθαι ἐκτεῖναι.

ὑπόσχωμεν ὑποβάλωμεν.

ὑποτείνει. cf. v. τὸ γὰρ ἐσλεύσσειν.

ὑποτείνων ὑπισχνούμενος· ⟨A Ach. 657⟩ "οὐ θωπεύων οὐδ' ὑποτείνων μισθούς, οὐδ' ἐξαπατύλλων."

ὑποτελὶς καὶ τέλος κατὰ φιλοσόφους διαφέρει. τῆς μὲν - - - εἶναι ⟨cf. v. τέλος c⟩.

ὑποτεμέσθαι ἀφελέσθαι. Ξενοφῶν ⟨Hell. 1 6 15⟩ "ἢν ἐπ' ἐκείνους ἡμεῖς ἐλαύνωμεν, ὑποτεμοῦνται ἡμᾶς πάλιν ἐκεῖνοι· ἡμῖν δὲ οὔπω ἡ ἰσχὺς πάρεστιν."

ὑποτεμνόμενον ἐκκόπτοντα.

ὑποτεμνόμενος τὸν πλοῦν ἀντὶ τοῦ διὰ τῶν συντομωτάτων πλέων, ἵνα καταλάβῃ τὸν διωκόμενον. οὕτω Ξενοφῶν.

ὑποτεμόμενος προλαβών· "ὁ δὲ ὑποτεμόμενος ἐν ξυναγκείᾳ τινὶ βάλλει κατὰ νώτου αὐτόν" ⟨cf. v. ξυνάγκεια⟩.

ὑποτεμοῦμαι καὶ περικόψω τῆς ἀλαζονείας Ἀριστοφάνης ⟨Eq. 291⟩· οἱ βυρσοδέψαι γὰρ ὑποτέμνουσι τὰ δέρματα διὰ τὸ φαίνεσθαι παχέα.

ὑποτετμημένων ἀφῃρημένων· "ὑποτετμημένων αὐτῷ τῶν ἐλπίδων κατάφοβος ἦν."

ὑποτίτθια ὑπομάζια παιδία. καὶ ὑπότιτθον ὁμοίως τὸ ὑπομάζιον.

ὑποτοπήσας ὑπονοήσας.

ὑπότριμμα ἔκ τε φοινίκων καὶ μέλιτος καὶ ἄλλων τινῶν ἀρτυμάτων· Ἀριστοφάνης ⟨Eccl. 294⟩ "βλέπων ὑπότριμμα," ἀντὶ τοῦ δριμύ, "στέργων σκοροδάλμῃ," τουτέστιν ἡδόμενος δριμέσιν.

ὑπότροπος ἐξ ὑποστροφῆς.

ὑποτροχίζεσθαι. οὐχ ὡς ἡμεῖς τὸ ὑποπεσεῖν τροχῷ καὶ τρωθῆναι τροχίζεσθαι καλοῦμεν, οὕτω καὶ οἱ ῥήτορες αὐτῷ ἐχρήσαντο, ἀλλὰ τὸ στρεβλοῦσθαι ἐπὶ τοῦ τροχοῦ τοὺς ἐξεταζομένους, ἵνα κατείπωσιν ἃ συνίσασιν ἄλλοις ἢ περὶ ὧν αὐτοὶ ἠδίκησαν, τροχίζεσθαι λέγουσιν.

ὑποτυπώσεων χαρακτήρων, λόγων.

ὑποτυφούσης ὑποκνιζούσης, ὑποκαιούσης· "ἀλλὰ κατὰ βραχὺ τῆς διηγήσεως ὑποτυφούσης τοὺς ἀκούοντας." καὶ ὑποτυφομένη· ⟨Menand. p. 286 Nieb.⟩ "ἐντεῦθεν ἤρξατο ἡ δυσμένεια Ῥωμαίων τε καὶ Ἀβάρων, ἤδη ἐκ πολλοῦ ὑποτυφομένη."

ὑπουδαῖοι καταχθόνιοι.

ὕπουλα γόνατα, καὶ ὕπουλον πόδα, καὶ ὕπουλον χεῖρα καὶ σῶμα, τὸ φλεγμαῖνον διά τινας πληγὰς καὶ ἐγγὺς τοῦ ἀφίστασθαι ὄν, Κρατῖνος.

ὕπουλα ἕλκη τὰ κρυπτά.

ὕπουλος δόλιος, φαινόμενος δῆθεν εἰρηνικός, ὡς ἐπὶ τῶν ἑλκῶν τῶν ἐχόντων οὐλὰς ὑγιεῖς ἐπιπολαίως, ἔνδοθεν δὲ σηπεδόνας πυώδεις. ἐξ οὗ ἐπὶ τῶν προσποιουμένων μὲν εἶναι χρηστῶν ἀνθρώπων, ὄντων δὲ μοχθηρῶν ἐλέχθη οὗτος ὁ λόγος.

ὑπούλως· "ὁ δὲ πρός τινας τῶν γνωρίμων ὑπούλως τε καὶ οὐχ ὑγιῶς ἔσχεν."

ὑπ' οὔρει ὑπὸ τῷ ὄρει.

ὑποφέρονται ὑποβάλλονται, καὶ ὑποφέρων ὑποβάλλων.

ὑποφῆται ἱερεῖς, προφῆται, χρησμολόγοι.

ὑποφθάς φθάσας, προλαβών.

ὑποφόνια. τὰ ἐπὶ τῷ φόνῳ διδόμενα χρήματα τοῖς οἰκείοις τοῦ ἀναιρεθέντος ὑπὸ τοῦ τὴν αἰτίαν ἔχοντος ὅτι ἀνῄρηκεν, ἐπὶ τῷ μὴ ἐπεξέρχεσθαι μηδὲ γενέσθαι τὴν τοῦ φόνου δίκην, ὑποφόνια καλεῖται. οὕτω Δείναρχος καὶ Θεόφραστος. Harp.

ὑπόφορος ὑπεύθυνος, ὑπόκηνσος, ὑποτελος.

ὑποφύσεις παραφυάδες φαύλων λογισμῶν ἔξωθεν φυόμεναι.

ὑπόχαλκον δέ σου τὸ χρυσίον ἀντὶ τοῦ μίξιμον, παρακεκομμένον τὸ νόμισμα, παραχαράξιμον.

ὑπὸ χεῖρα.

ὑποχείριον τὸ ὑπὸ τὴν χεῖρα· "οἱ μὲν πυγμαῖς οἱ δὲ ῥοπάλοις, οἱ δὲ ὅ τι ποτὲ παρέπιπτεν αὐτοῖς ὑποχείριον, ἀλοῶντες αὐτόν" ⟨cf. v. τριακοντόπους⟩.

ὑποχειρίους αἰχμαλώτους, δούλους· "ὑποχειρίους αὐτῷ ποιῆσαι τοὺς παῖδας τῶν εὐγενεστάτων."

ὑποχόνδρια τὰ ἀκροσπάθια, τὰ ὑπὸ τὴν λαγόνα.

ὑποχυτῆρες τρύβλια δι' ὧν τὸ ἔλαιον εἰς λύχνους ἐπιχέουσιν.

ὑπόχυτος οἶνος ὁ γλυκύς· "ἦν δὲ ὁ

Πολέμων ὁ φιλόσοφος ὁ γλυκὺς ὁδ' ὑπόχυτος ἀλλὰ Πράμνιος" (Diog. L. 4 20).

ὑποψαμμότερος· "προήροσε γὰρ τὸν τόπον ὑποψαμμότερόν πως ὄντα, ἵνα ἐν τῇ συνόδῳ σφῶν κονιορτὸς πάμπολυς ἀρθῇ."

ὑπὸ ψήφȣ μιᾶς (A Lys. 270) ἀπὸ γνώμης, ἀπὸ κρίσεως μιᾶς.

ὑποψία τὸ ὑπὸ τὴν ὄψιν, τὸ ἐνεστηκός· Πισίδης (Avar. 43) "τὴν τῶν φθασάντων ἀσφαλῶς ὑποψίαν." ἢ τὸ ἐξ ἀκοῆς καὶ παραδόσεως γραφόμενον. καὶ ὑπόψια.

ὕπτια ὑψηλά.

ὑπτιάζει ὑποςρέφει.

a ὕπτιος ἐπὶ νῶτον κείμενος. καὶ ὕπτια πεδία τὰ ὁμαλά. "προθυμίᾳ τῇ πάσῃ ἀναπετάσαντες τὰς πύλας ἐδέξαντο ὑπτίαις χερσὶ τȣ̀ς πολεμίȣς," ἀντὶ τȣ̃ ἡπλωμέναις.

b ὕπτιος λέγεται καὶ ὁ ἄπρακτος· καὶ ἐν ἐπιγράμματι (AP 5 203) "ᾧ πολὺν ὕπτιον ἵππον ἐγύμνασε." περὶ μύωπος ὁ λόγος.

ὑπωμοσία. τὸ ὑπερτίθεσθαι δίκην, προφάσει χρώμενον ἀποδημίᾳ ἢ νόσῳ ἤ τινι τῶν παραπλησίων μεθ' ὅρκȣ, ȣ̃τως ἐλέγετο. καὶ τὸ ποιεῖν τȣ̃το ὑπόμνυσθαι. Harp.

a ὑπώπια τὰ ὑπὸ τȣ̀ς ὀφθαλμȣ̀ς πελιδνώματα, ἢ τὰ ἐξ αὐτῶν ἐξιόντα πύα.

b ὑπώπια οἱ τύλοι οἱ γινόμενοι ἐν ταῖς χερσὶν ἀπὸ τῆς ἐργασίας. λέγεται δὲ ὑπώπια καὶ τὰ ἀφ' οἱασδηποτȣ̃ν πληγῆς τραύματα. sch. A Ach. 550.

c ὑπώπια ἀπὸ μέρȣς τὴν ὄψιν. sch. Hom. M 463.

ὑπωπιάζω τὸ ὑποτηρῶ ἐκ τȣ̃ ὑπώπια, ὃ σημαίνει τȣ̀ς ὀφθαλμȣ́ς. φησὶν ὁ ἀπόςολος (1 Cor. 9 27) "ἀλλ' ὑπωπιάζω μȣ τὸ σῶμα καὶ δȣλαγωγῶ," τȣτέςι πρὸς ἄσκησιν αὐτὸ μετ' ἐπιστήμης καὶ φρονήσεως γυμνάζω, καὶ πρὸς τὴν τῶν κρειττόνων συνέργειαν, ȣ̓ πρὸς ἀσέλγειαν προνοȣ̃μαι. ταύτῃ τοι καὶ παραινεῖ φάσκων (Rom. 13 14) "ἐνδύσασθε τὸν κύριον Ἰησȣ̃ν, καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας," ȣ̓ τὴν σύμμετρον καὶ ἀναγκαίαν ἐπιμέλειαν πρὸς σύστασιν ἀπαγορεύσας, ἀλλὰ τὴν ἀκολασίας μητέρα γαστριμαργίαν· ἐπήγαγε γὰρ "εἰς ἐπιθυμίας," δηλαδὴ βλαβερὰς καὶ ἀνοήτȣς. ȣ̓ γὰρ τοσαύτην αὐτῷ προσφέρειν δεῖ θεραπείαν ὡς κατασκιρτᾶν τῆς ψυχῆς, ἀλλ' ἵνα συνεργῇ καὶ καθυπȣργῇ τοῖς ἀρίστοις ἐκείνης ἐπιτηδεύμασι. τȣ̃το καὶ ὁ Πλάτων φησίν· "ἐπιμελεῖσθαι δεῖ σώματος καὶ ψυχῆς εἵνεκα ἁρμονίας, δι' ȣ̃ βιȣ̃ν τε ἔστι καὶ ὀρθῶς βιȣ̃ν" (cf. v. ἀσκὸς ἐν πάχνῃ). ὑποπιέζω δέ, διὰ τοῦ ο μικροῦ, τὸ μετρίως πιέζω.

ὑπωπιασμέναι· Ἀριστοφάνης (Pac. 540) "καὶ ταῦτα δαιμονίως ὑπωπιασμέναι καὶ κυάθοις προσκείμεναι," ἀντὶ τȣ̃ σφόδρα πληγεῖσαι περὶ τὰ ὑπώπια· ὑπώπια δέ ἐστι τὰ ὀγκώματα καὶ κρέματα, ἅπερ κονδύλȣς φασί. τοῖς κυάθοις δὲ προσθλῶσι τὰ ὑπώπια. ἢ ἐν ὀξυβάφοις χαλκοῖς τὰ ὑπώπια ἀνατρίβοντες ἢ τοιȣ́τοις τισὶν ἀφανῆ ποιȣ̃σιν· Ἀπολλοφάνης "κύαθον λάβοιμι τοῖς ὑπωπίοις."

ὑπώρεια ἡ ὑπὸ τὸ ὄρος πεδιάς, οἱ πόδες τȣ̃ ὄρȣς μεταφορικῶς.

ὑπωρόφιοι οἱ ὑπὸ τὴν αὐτὴν οἰκίαν περιειλημμένοι συγγενεῖς.

ὑπώροφον ὑπόστεγον.

Ὑρίη ὄνομα πόλεως.

Ὑρκάνιος ὄνομα.

Ὑρκανός ὄνομα κύριον. (Ioseph. A. I. 12 4 8?) "τȣ̃τον ἠρώτησεν Ἀρίων πῶς ὁ πατὴρ αὐτȣ̃ συναγάγοι τὴν ȣ̓σίαν, ὡς πονῶν καὶ τοῖς ἐπιθυμίαις ἀντέχων, ἐδήλȣ."

Ὕρρα παῖς ὁ Πιττακός. καὶ Ὑρράδιος ὄνομα. καὶ Ὑρραδιανός ὄνομα κύριον.

Ὑρτάκης ὄνομα κύριον. καὶ Ὑρτακίδης ὄνομα.

Ὕρτιον.

ὕρχας.

ὗς χοῖρος, ἢ σύαγρος. a

ὗς ἐπὶ θηλείας, σῦς δὲ ἐπὶ ἄρρενος. κέ- b
χρηνται δὲ ἀδιαφόρως. (A Ach. 741) "ὅπως δὲ δόξητ' ἦμεν ἐξ ἀγαθᾶς ὑός."

ὕσας βρέξας. Αἰλιανός "εἶτα ἀδοκήτως πολλῷ πάνυ σφόδρα ὗσε, καὶ ἀστραπαὶ γεγόνασιν ἐκπλῆξαι δειναί."

ὕσγη βοτάνη. καὶ ὑσγινοβαφὴς χιτὼν βεβαμμένος, καὶ ὑσγινοβαφῆ ἀδετέρως.

ὗς διὰ ῥόδων, ἐπὶ τῶν σκαιῶν καὶ ἀναγώγων, Κράτης Γείτοσιν.

ὗς ἐκώμασε παροιμία ἐπὶ τῶν ἀναιδῶς τι ποιȣ́ντων. cf. v. κώμη.

ὑσθεῖσαι βραχεῖσαι ἀπὸ ὑετοῦ.

ὕσθης ἐβράχης.

Ὑσίαι πόλις τῆς Βοιωτίας.

ὑσμίνης μάχης.

Ὑσπελέθας ὄνομα κύριον.

ὑσπλάτιδος· "ὥσπερ ἀπὸ μιᾶς ὑσπλάτιδος," ἀντὶ τοῦ ἀφέσεως, βαλβῖδος. ἀπὸ μιᾶς ἀφετηρίας, ἤγουν ἀπὸ ἑνὸς κανόνος καὶ καμπτῆρος. Ἀριστοφάνης φησίν (Lys. 999) "αἴπερ ἀπὸ μιᾶς ὑσπλάτιδος ἀπήλαον τοὺς ἄνδρας ἀπὸ τῶν ὑσσάκων," τουτέστι τῶν γυναικείων αἰδοίων.

ὕσπληξ φραγέλλιον, ἀφετηρία, βούκεντρον, ἢ μύωψ ὁ πλήσσων τοὺς βοῦς. "ὃ δὲ καθάπερ ἀπὸ ὕσπληγος ἕτοιμος ὢν ἐξ αὐτῆς ἧκε." καὶ αὖθις (AP 6 259) "τίς τὸν ἄχνουν Ἑρμῆν σε παρ' ὑσπλήγεσσιν ἔθηκε;" καὶ Ἰώσηπος (B. I. 3 5 4) "οἳ δὲ ἱστᾶσιν ὥσπερ ἐφ' ὕσπληγος ἐξορμᾶν ἕτοιμοι."

ὑσσάκων τῶν γυναικείων αἰδοίων. A Lys. 1000.

ὑσσός ἀκόντιον. "ἐξακοντίσας ὑσσὸν διήλασεν αὐτοῦ τόν τε θυρεὸν καὶ τὸν θώρακα." (Polyb. 6 23) "τῶν δὲ ὑσσῶν οἳ μὲν εἰσι παχεῖς οἳ δὲ λεπτοί."

ὕσσωπος βοτάνη ῥυπτική. Δαβίδ "ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι." οὐδεμίαν γὰρ ἄφεσιν ἁμαρτημάτων εἰργάζετο. αἴνιγμα δέ τι σημαίνει. ὑσσώπῳ τὸ αἷμα τοῦ προβάτου ταῖς φλιαῖς ἐπιρράναντες τοῦ ὀλοθρεύοντος τὰς χεῖρας διέφευγον. τύπος δὲ ἐκεῖνα τῶν σωτηρίων παθημάτων· αἷμα γὰρ κἀνταῦθα καὶ ξύλον σωτηρία. Theodoret. in Ps. 50.

Ὑστάσπης ὄνομα κύριον.

ὕστατος τελευταῖος, ἔσχατος.

Ὑστέλλειον ὄνομα ὄρους.

ὑστεραία ἡ μετὰ τὴν αὔριον ἡμέρα· "τῇ δ' ὑστεραίᾳ ἤγοντο ἄλλος ἄλλῃ."

ὑστερίζειν μετὰ μίαν ἡμέραν ἔρχεσθαι· "τούτοις ἐτέτακτο μιᾷ ἡμέρᾳ ὑστερίζειν βασιλέως." καὶ ὑστερῶ ὑστερήσω· (Dionys. Hal. 20 6) "οἱ δὲ βασιλικοὶ τοῦ καιροῦ τῆς βοηθείας ὑστερήσαντες."

ὕστερος λόγος. (A Av. 336) "ἀλλὰ πρὸς μὲν τούτους ὕστερος λόγος," τουτέστιν ὕστερον αὐτοῖς μαχησόμεθα, παρὰ τὸ Ὁμηρικόν (Α 140) "ἀλλ' ἤτοι μὲν ταῦτα μεταφρασόμεσθα καὶ αὖθις."

ὕστινος (an ὕσγινος) βάμματος εἶδος· (AP 6 254) "τὰκ κόκκοιο βαφέντα καὶ ὑστίνοιο θέριστρα."

ὕστριξ ἐκ δέρματος μετ' αὐτῶν τῶν τριχῶν μάστιξ. "ὑστριχίδι μαστιγῶν" Ἀριστοφάνης Βατράχοις (632). ἢ ὕστριξ ἀκανθόχοιρος, χερσαῖος ἐχῖνος.

ὑστριχίς ἡ ἐξ ὑείων τριχῶν μάστιξ· Ἀριστοφάνης (Pac. 747) "μῶν ὑστριχὶς εἰσέβαλέν σοι εἰς τὰς πλευρὰς πολλῇ στρατιᾷ κἀδενδροτόμησε τὸ νῶτον;" ἔστι δὲ καὶ ὑστριχὶς θηρίον τρίχας ἔχον ὑός, ἃς ἐν τῷ διώκεσθαι ἐξακοντίζει κατὰ τῶν διωκόντων.

ὗς ὑπὸ ῥόπαλον, παροιμία παρὰ Δεινολόχῳ ἐπὶ τῶν ἑαυτὰς εἰς ὄλεθρον ἐμβαλλόντων.

ὖ ὖ ἐπίρρημα θαυμαστικόν, ὅπερ ἐν τῇ συνηθείᾳ λέγομεν, ὀσφραινόμενοί τινος κνίσης. sch. A Plut. 896.

ὕφα τὸ ὕφασμα.

ὕφαιμος ὁ ᾑμαγμένος μώλωψ.

ὑφαίνω κατασκευάζω.

ὑφαιρεῖται παρεκβάλλει.

ὕφαλοι ὑποθαλάσσιοι κεκρυμμέναι πέτραι. (Theophyl. Sim. 2 10) "ὕφαλός τις ἦν τοῖς βαρβάροις ὁ θάνατος, ὥς τις ἄμπωτις ἐξαπιναίως καταρροφοῦσά πως τὸ πολέμιον."

ὕφαλος φάτις ἡ κρυφία. "διὰ τῶν εἱλώτων τροφὰς ὑφάλους εἰσέφερον· οἳ μέχρι τινὸς ἐλάνθανον τοῦτο ποιοῦντες, ὕστερον δὲ ἑάλωσαν" (cf. v. ὕφυδροι).

ὑφάντης καὶ ἀνυφάντης.

ὑφαντοδόνητον. (A Av. 937) "ἄνθρωπος ἡμῶν οὐκ ἀπαλλαχθήσεται. Νομάδεσσι γὰρ ἐν Σκύθαις ἀλᾶται Στράτων, ὃς ὑφαντοδόνητον ἔσθος οὐ πέπαται· ἀκλεὴς δ' ἔβα σπολὰς ἄνευ χιτῶνος. ξύνες ὅ τοι λέγω. ξυνίημ' ὅτι βούλει τὸν χιτωνίσκον λαβεῖν." τοῦτό φησιν, ἐπειδὴ - - - κρίνεται. cf. v. νομάδες.

ὕφασμα σάκκος. "ἐμβαλὼν δὲ αὐτὸν τὸν ἀπατηλὸν ἐν ὑφάσματι ἐκ τριχῶν εἰργασμένῳ, ἐνῆκεν εἰς τοῦ ποταμοῦ τὰς δίνας."

ὑφεδρία ἡ κατωτέρω καθέδρα.

ὑφειμένοι ὑποχείριοι. ἢ ὑφειμένη ἐκλελυμένη· "ὑφειμένη ὂν καὶ διαλειπούσῃ πολλαχῇ τῇ φωνῇ ἐδεῖτο ξυγγνῶναί οἱ βασιλέα." καὶ αὖθις (S El. 335) "πλεῖν δ' ἐν κακοῖς ὑφειμένῃ δοκεῖ," ἀντὶ τοῦ πλέειν.

ὑφειμένως ἐνδεδομένως, ἢ ἐκλελυμένως.

ὑφείς ἐνδούς, ὑποχαλάσας· (Dio C. 68 17) a "ὃ δὲ ὑφεὶς τοῦ φρονήματος ἔπεμψεν ἱκετεύων μὴ πολεμηθῆναι."

ὑφείς ὑποβαλών· "ὑφεὶς μάγον τοιόνδε b

μηχανορράφον, δόλιον ἀγύρτην" Σοφοκλῆς ⟨OR 387⟩.

ὑφεῖσθαι ἀμελῆσαι, ὑποχωρῆσαι· "ὥ μὴν ὑφεῖσθαι τῆς χώρας, ἀλλὰ μεῖναι καὶ κατασχεῖν."

ὑφεῖται συγχωρεῖται.

ὑφελκτέον τῶν δᾴδων, ἀντὶ τȣ͂ ὑφαιρετέον· Ἀριστοφάνης ⟨Eq. 916⟩ "ὑφελκτέον τῶν δᾴδων, καὶ ἀπαρυστέον τῶν κρεῶν." τȣ͂το ποιȣ͂σιν ὅταν παφλάζῃ ὁ λέβης, ἀφαιρȣ͂ντες ἐκ τῶν κρεῶν.

ὑφέντες ἐγκαθίσαντες, ὑποβαλόντες· "οἱ δὲ ἐνέδραν ὑφέντες κτείνȣσι τȣ͂τον δόλῳ." καὶ αὖθις "ὁ δὲ Ἄκαστος λόχον ὑφείσας ἐπεβȣ́λευσε τῷ Πηλεῖ, καὶ ὃς αἰσθόμενος ἐς πόλεμον κατέστη" ⟨cf. v. Ἄκαστος⟩.

ὑφέξειν ὑπενεγκεῖν, ὑπομεῖναι· ⟨A Th. 203⟩ "μὴ νῦν ἐλπίσῃς τὸ σὸν κακὸν ἡμᾶς ὑφέξειν· καὶ γὰρ ἂν μαινοίμεθ' ἄν. ἀλλ' αὐτὸς ὅ γε σόν ἐστιν οἰκείως φέρε."

ὑφέρποντα ἐπερχόμενον, παραγινόμενον· ⟨Ioseph. B. I. 5 8 2⟩ "ἐπεσκότει γὰρ αὐτῶν ταῖς γνώμαις διὰ τὰς παρανομίας ὁ θεός, καὶ τὸν ὑφέρποντα λιμὸν αὐτοῖς οὐκ ἔβλεπον."

ὑφέσθαι ὑποχωρῆσαι, εἶξαι. sch. A Ran. 1251.

ὕφεσις ἐλάττωσις.

ὑφέστιος ὁ ἐν τῇ οἰκίᾳ τυγχάνων· ⟨Dionys. Hal. 9 19⟩ "καὶ μηδὲ μοῖρα τȣ͂ Φαβίων γένȣς ἐν τοῖς ὑφεστίοις ὑπελείπετο."

ὑφεστὼς ἐνυπόστατος.

ὑφεωρᾶτο· "ἀλλ' ὅμως ὑφεωρᾶτο καὶ κατεκλᾶτο τὴν ψυχήν, ἀποβλέπων εἰς τὸ μέγεθος τȣ͂ πράγματος." ὑφεωρᾶτο ἦν ἀντὶ τȣ͂ δυσκόλως εἶχεν, ἐνενόει, ἐδυσωπεῖτο.

ὑφηγήσονται ὑποδείξουσιν. "ὁ δὲ Τραϊανὸς ἐξελαύνει ὡς ἐπὶ τὴν Ἀνθεμȣσίαν γῆν· ἐπὶ ταύτην γὰρ καὶ Ἄγβαρος ὑφηγεῖτο ἰέναι," ἀντὶ τȣ͂ συνεβȣ́λευεν, ὑπετίθετο.

ὑφῆκεν ὑπέβαλεν, ὑπέθηκεν· "ὃ δὲ ἐνέδραν αὐτῷ τινὰ ὑφῆκεν."

ὕφηνε κατεσκεύασεν, ἐκ τȣ͂ ὑφαίνω.

ὑφηνίοχος ⟨Hom. Z 19⟩ ἀντὶ τȣ͂ ἡνίοχος.

ὑφῆραν ⟨an ὑφῄρȣν⟩ ἔλαβον.

ὑφήφασμαι Ἀττικὸς παρακείμενος. ὑφαίνω ὑφανῶ ὕφαγκα ὕφαμμαι. ἔθος δὲ ἔχȣσιν οἱ Ἀττικοὶ πολλάκις ἐν τοῖς τοιȣ́τοις ῥήμασι τρέπειν τὸ πρὸ τȣ͂ μ σύμφωνον εἰς σ· γίνεται ὕφασμαι. ἐπεὶ δὲ ȣ̓δέποτε ὁ Ἀττικὸς παρακείμενος ἔχει τὰ αὐτὰ φωνήεντα ἐν τῇ α' καὶ β' συλλαβῇ, ἐτράπη τὸ υ εἰς η, καὶ γίνεται ὑφήφασμαι.

ὑφίει συνεχώρει.

ὑφιέμενον ἐνδιδόμενον. καὶ ὑφιέναι ὑπενδȣ͂ναι.

ὑφιζάνει ὑποκαθέζεται, ἐλαττȣ͂ται.

ὑφιζήσεις ὑποχαλάσεις, ἐνδόσεις· "ἐξέκλινε τὰ γεώδη καὶ μαλακὰ καὶ ψαμμώδη διὰ τὰς ἐσομένας ὑφιζήσεις ἐπὶ τοῖς βάρεσι τοῖς ἐπιτιθεμένοις" ⟨cf. v. ἐφυλάξατο⟩.

ὑφιστάμενος βεβαιῶν, ἐπαγγελλόμενος· "δηλητηρίοις φαρμάκοις ἀνελεῖν τὸν Πύρρον ὑφιστάμενος" ⟨cf. v. Φαβρίκιος⟩.

ὑφιστὰς ὑποστάς, ὑποτιθείς.

ὑφίσταται ὑπισχνεῖται, διαβεβαιȣ͂ται· Ἀππιανός ⟨t. 1 p. 80⟩ "ὃ δὲ ὑφίσταται γράμματα διοίσειν διὰ τῶν ἐχθρῶν ἐς τὸ Καπιτώλιον." καὶ αὖθις "οἱ δὲ κωλύσειν ὑφίσαντο τὰ Ῥωμαϊκὰ δύο σκάφη ὡς προεκδραμόντα τȣ͂ παντὸς στόλȣ."

ὑφορμȣ͂ν ἀπαντῶν, ἐναντιȣ́μενον.

ὑφορώμενοι· "οἱ δὲ τὰ χρήματα ὑφορώμενοι, καὶ φιλεῖν αὐτὰ ἀποδιδράσκοντες," ἀντὶ τȣ͂ μισȣ͂ντες, παρατηρȣ͂ντες, ἢ ὑπονοȣ͂ντες, προσδοκῶντες.

ὑφορώμενος ὑποστελλόμενος, ἢ ἐννοῶν· "καὶ ȣ̓δὲν ὑφορώμενος τὸν τῶν νεωτέρων γέλωτα ταῦτα ἐτέλει σεμνῷ προσώπῳ" ⟨cf. v. τραγήματα⟩.

ὑφόωσιν ὑφαίνουσιν ⟨Hom. ε 105⟩.

ὕφυδροι· Θȣκυδίδης ⟨4 26⟩ "ἐσένεον δὲ κολυμβηταὶ ὕφυδροι, καλωδίῳ ἐν ἀσκοῖς ἐφέλκοντες μήκωνα μεμελιτωμένην καὶ λίνȣ σπέρμα κεκομμένον." ὑπὸ τὸ ὕδωρ ὄντες.

ὑφωμαδὸν ὁμοθυμαδόν. ὁ δὲ τοῖς ὤμοις φέρων ἐπωμαδὸν καὶ ἐπωμάδιος λέγεται.

ὑψαγόρας ὑψίλογος· ⟨Menand. p. 306⟩ "ἐχρῆτο δὲ κομπολογίαις, καὶ ὑψηγόρας τις ἦν καὶ τραχύς. ὁ δὲ Βιῶνος κατ' ȣ̓δὲν τοῖς ῥήμασιν ὑποχαλάσας ἀνεμίμνησκε τῆς ἐν Σκυθίᾳ μάχης."

ὑψαυχεῖν ὑψηλοφρονεῖν.

ὑψηγόρει μεγαληγόρει.

ὑψηλολογȣ́μενοι· "ἀπειλȣ́ντων τε καὶ ὑψηλολογȣμένων."

ὑψηλοτέρας ἀλαζονικωτέρας, ὑπερφερεστέρας· ⟨Iulian. 3 p. 62⟩ "ὑψηλοτέρας ἔγραψε Καπανέως ἐπιστολάς, ἐπαρθεὶς ἢ χαυνωθεὶς

ἢ καὶ κεπφωθείς, ὑπὲρ ὧν τὸν θεὸν πολλάκις ὑπομιμνήσκω καὶ τὸ (Eur. Phoen. 189) "ἰὼ Νέμεσι καὶ βαρύβρομοι βρονταὶ συνεχῶς βοῶ." καὶ αὖθις (S Ai. 1230) "ὑψήλ' ἐφρόνεις κἀπ' ἄκρων ὡδοιπόρεις," τουτέστιν ἐπ' ἄκρων δακτύλων ἔβαινες γαυριῶν, "ὅτ' οὐδὲν ὢν τοῦ μηδὲν ἀντέστης ὕπερ, κοὔτε στρατηγοὺς οὔτε ναυάρχους μολεῖν ἡμᾶς Ἀχαιῶν οὔτε σοῦ διωμόσω."

ὑψηλότερος εὐδαιμονέστερος.

ὑψηλῶς μεγάλως.

ὑψηρεφές ὑψηλόν.

ὑψηχής ὁ ὑψαύχην. καὶ (Hom. *E* 772) "ὑψηχέες ἵπποι."

ὕψι εἰς ὕψος, καὶ ὑψοῦ ἐφ' ὕψους.

ὑψιβρεμέτης ἐν ὕψει βροντῶν.

Ὑψίζοντος ποταμοῦ.

ὑψίζυγος (Hom. *Δ* 166) ἐν ὕψει θρόνον ἔχων.

ὑψικάρηναι ὑψηλαί.

ὑψικέρατα πέτραν, τουτέστιν ὑψικέρατον, κατὰ μεταπλασμόν. "Κυνθίαν ἔχων ὑψικέρατα πέτραν" Ἀριστοφάνης Νεφέλαις (593).

ὑψίκερως.

ὑψικρατεῖν τὰ ἐν τῷ ὕψει κρατεῖν.

ὑψιμέδοντες ἐν ὕψει βασιλεύοντες.

ὑψιπέτηλον ἐφ' ὕψους τὰ φύλλα ἔχον. Hom. *N* 437.

ὑψιπέτης ὁ εἰς ὕψος πετόμενος, ὑψιπετής δὲ ὁ ἀπὸ ὕψους πεσών.

ὑψιστάριος. αἵρεσίς τις Ὑψιστάριοι, οἱ τὸν ὕψιστον καλοῦντες.

ὑψιφοίτης ὑψηλοπόρος, ἢ ὑψίφρων.

ὑψόθι ἐν ὕψει.

ὑψόροφος ὁ ὑψηλὸν ὄροφον ἔχων.

ὕψος ἔπαρμα. καὶ ὕψος ἡμερῶν ἡ εὐημερία. Δαβίδ (Ps. 55 2) "οἱ πολεμοῦντές με ἀπὸ ὕψους."

ὑψοῦ διάττει ἐν ὕψει ὁρμᾷ καὶ τρέχει.

ὑψοῦτε ἀντὶ τοῦ ὑψηλὸν αὐτὸν κηρύττετε. Δαβίδ (Ps. 98 5) "ὑψοῦτε κύριον τὸν θεὸν ἡμῶν, καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ."

a ὑψώθητι ἀντὶ τοῦ δεῖξον πᾶσιν ἀνθρώποις τὸ ὕψος σου· Δαβίδ (Ps. 56 6) "ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς ὁ θεός."

b ὑψώθητι ἀντὶ τοῦ ὑψηλὸς δείχθητι καὶ πάντων ὑπέρτερος. Δαβίδ φησι πρὸς τὸν θεόν. Theodoret. in Ps. 107 6.

ὕψωσεν ἐπῆρεν, καὶ ὕψωσις ἔπαρσις.

ὑώδεις. οἱ Ἱπποκράτους υἱεῖς ὑώδεις τινές --- Περικλῆς (cf. v. τοῖς Ἱπποκράτους).

ὕων βρέχων, ὑῶν δὲ χοίρων.

Φάβιος. ὅτι Φάβιος Μάξιμος ὕπατος Ῥωμαίων, νεώτερος ὢν καὶ τὸν πρὸς Σαυνίτας πόλεμον ἐγκεχειρισμένος, θρασύτερον ἢ ἀσφαλέστερον τοῦ ἔργου προσαψάμενος ἐσφάλη, τρισχιλίων νεκρῶν ἀπομάχων τε πλείστων τοῖς Ῥωμαίοις γεγενημένων. ἡ δὲ βουλὴ τοῦτον παραλύει τῆς ἡγεμονίας. ὁ δὲ τούτου πατὴρ ὁμώνυμος τῷ παιδί, πολλαῖς ἐνηθληκὼς ἀνέκαθεν στρατείαις, ἐδεῖτο τῆς βουλῆς ἀνεῖναι τῷ Φαβίῳ τὰ ἐγκλήματα, αὐτὸς ἀναμάχεσθαι τὸ τοῦ παιδὸς πταῖσμα κρείττοσιν ἔργοις ὑφιστάμενος. εἴξασα οὖν ἡ βουλὴ αἰδοῖ τοῦ ἀνδρὸς ἐπιτρέπει αὖθις τῷ νέῳ τὴν τοῦ πολέμου ἡγεμονίαν, πρεσβευτὴν αὐτῷ τὸν πατέρα δοῦσα, ὡς ἂν μή τι δι' ἀπειρίαν σφάλλοιτο. καὶ ὃς ἀφικόμενος ἐς τὴν πολεμίαν ἀριστεύει καὶ θρίαμβον κατάγει.

Φάβιος Πίκτωρ συγγραφεὺς Ῥωμαίων. οὗτος λέγει ἄρχοντι Ῥωμαίων μὴ ἐξεῖναι μηδενὶ σφετερίσασθαι ἐκ τοῦ δημοσίου ὁτιοῦν.

Φαβρίκιος. ὅτι Φαβρίκιος τῆς ἐπὶ τὸν Πύρρον σταλείσης δυνάμεως ἀποδείκνυται ἡγεμών, ἀνὴρ πάλαι ἐγνωσμένος τῷ βασιλεῖ καὶ τῆς αὐτοῦ μεγαλοφροσύνης ἐναργὲς ἐξενηνοχὼς σύμβολον. ἀντικαθεζομένων γὰρ ἀλλήλοις τῶν στρατοπέδων νύκτα φυλάξας ἀνήρ τις, εἴτε ἰατρὸς εἴτε ἕτερος τῶν περὶ τὴν τράπεζαν τοῦ βασιλέως τεταγμένων, ὡς τὸν Φαβρίκιον ἀφίκετο δηλητηρίοις φαρμάκοις ἀνελεῖν τὸν Πύρρον ὑφιστάμενος, ἤν οἵ τις δοθείη πρὸς αὐτοῦ χρημάτων ὠφέλεια. ὃν ὁ Φαβρίκιος ἀποστυγήσας τῆς ἐγχειρήσεως ἀποπέμπει τῷ Πύρρῳ δέσμιον. ἀγασθεὶς δὴ οὖν τὸ πραχθὲν ὁ Πύρρος ἀναβοῆσαι λέγεται "οὗτός ἐστι καὶ οὐκ ἄλλος Φαβρίκιος, ὃν δυσχερέστερον ἄν τις παρατρέψοι τῆς οἰκείας ἀρετῆς ἢ τῆς συνήθους πορείας τὸν ἥλιον." ὁ δὲ Πύρρος τὸν περὶ τοῦ παντὸς ἀναρρίψας κύβον τοῖς ὅλοις ἐσφάλη. Eutropius?

Φαβωρῖνος Ἀρλεάτου τῆς ἐν Γαλλίᾳ πόλεως, ἀνὴρ πολυμαθὴς κατὰ πᾶσαν παιδείαν, γεγονὼς δὲ τὴν τοῦ σώματος ἕξιν ἀνδρόγυνος, ὃν φασιν ἑρμαφρόδιτον, φιλοσοφίας μεστός, ῥητορικῇ δὲ μᾶλλον ἐπιθέμε-